ἣν ἂν σοι δείξω (*Quis rerum div. heres*, § 56), so LXX. and *Ep. Clem.* Philo omits *ἂν* in *De Migrat. Abrah.* § 1. The passage is quoted in Acts vii. 3 *Ἔξελθε ἐκ τῆς γῆς σου καὶ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι δείξω.*

2. *εὐλογητός*, so Philo expressly in *De Migrat. Abrah.* § 19, and *εὐλογητός* is found in LXX. Codd. ADE; but *εὐλογημένος* in LXX. *Vat. Rom.* and *Ep. Clem. ad Rom.* x. 3.

3. *ἐνευλογηθήσονται* (*De Migrat. Abrah.* § 1), so LXX. Cod. D^{sil}, *Vat. Rom.*; but *εὐλογηθήσονται* LXX. Codd. AE and *Ep. Clem. ad Cor.* x. 3. Both readings are found in the N.T. Acts iii. 25 *καὶ ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς.* Gal. iii. 8 *ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη.*

ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς (*De Migrat. Abrah.* § 1, i. 436).

1 *τί δὲ εἰργάσατο ἤδη καλὸν ὁ Ἀβράμ, ὅτι κελεύει αὐτῷ πατρίδος καὶ τῆς γενεᾶς ταύτης ξενοῦσθαι, καὶ γῆν οἰκεῖν, ἣν αὐτὸς δῷ ὁ θεός;* (*Leg. Allegor.* iii. § 27, i. 103).

Ἀβραὰμ οὐχ ὁρᾷς, ὅτι γῆν καὶ συγγένειαν καὶ πατρὸς οἶκον, τὸ σῶμα, τὴν αἴσθησιν, τὸν λόγον, καταλιπών, ἄρχεται ταῖς τοῦ ὄντος ἐντυγχάνειν δυνάμεσιν; (*Quod det. potiori insid.* § 44, i. 221; cf. *Quis rerum div. heres,* § 14, i. 482).

Εἶπε γάρ, φησί, κύριος τῷ Ἀβραάμ· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, πρὸς τὴν γῆν, ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα (*Quis rerum div. heres,* § 56, i. 513).

2 *Μεγαλυνῶ τὸ ὄνομά σου...ἔσῃ γάρ, φησίν, εὐλογητός, οὐ μόνον εὐλογημένος* (*De Migr. Abrah.* §§ 16, 19, i. 449, 453).

3 ut supr. (*ibid.* § 20, i. 453).

4 *Λέγεται δὲ ἑξῆς, ὅτι ἐπορεύθη Ἀβραάμ, καθάπερ ἐλάλησεν αὐτῷ κύριος...Ἐπορεύθη γὰρ καθ' ἃ ἐλάλησεν αὐτῷ κύριος* (*De Migrat. Abrah.* § 23, i. 456).

Ὤιχετο μετὰ τοῦ Λώτ (*ibid.* § 27, i. 459).

Ἀβραὰμ δὲ ἦν, φησίν, ἐτῶν ἑβδομήκοντα πέντε, ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν (*ibid.* § 32, i. 463; *De Somn.* i. § 9, i. 627).

---

4. *Ὤιχετο μετὰ τοῦ Λώτ* (*De Migrat. Abrah.* § 27), so LXX. Cod. *D*: but *ᾤχετο μετ' αὐτοῦ Λώτ* LXX. Codd. AE, and it is probable that Philo really had this reading, seeing that he says in the same passage *ὅν* (i.e. *Λώτ*) *φησιν οἴχεσθαι μετὰ τοῦ σοφίας ἐραστοῦ* (i.e. *Ἀβραάμ*).

6 Ἐξελθὼν οὖν ἐκ τῶν κατὰ τὴν Χαῤῥὰν τόπων ὁ νοῦς λέγεται διοδεῦσαι τὴν γῆν ἕως τοῦ τόπου Συχὲμ ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν (*De Migrat. Abrah.* § 39, i. 470).

7 λέγει ὁ νόμος, ὅτι ὤφθη ὁ θεὸς αὐτῷ (*Quod det. potiori insid.* § 44, i. 221).

Ὤφθη δὲ ὁ θεὸς τῷ Ἀβραάμ (*De Abrahamo,* § 17, ii. 13).

9 Οὗ χάριν ὁ σοφὸς εἰσάγεται λέγων ἀντικρύς· Διαχωρίσθητι ἀπ' ἐμοῦ (*De Migrat. Abrah.* § 3, i. 438).

10—20 cf. *ib.* § 19, ii. 14.

xiv. 1 cf. *De Congr. Erud. grat.* § 17, i. 532.

3 Λέγεται γὰρ ὅτι πάντες οὗτοι συνεφώνησαν ἐπὶ τὴν φάραγγα τὴν ἁλυκήν· αὕτη ἡ θάλασσα τῶν ἁλῶν (*De Confus. Ling.* § 8, i. 409).

7 Ταύτῃ ὁ ἱερὸς λόγος τῇ πηγῇ προσφυέστατα ὀνόματα τίθεται, κρίσιν αὐτὴν καὶ ἁγίαν προσαγορεύων· Ἀναστρέψαντες γάρ, φησίν, ἦλθον ἐπὶ τὴν πηγὴν τῆς κρίσεως, αὕτη ἐστὶ Καδδής (*De Profug.* § 35, i. 575).

17 Ὁ μὲν οὖν σοφὸς Ἀβραὰμ ἐπανελθεῖν λέγεται ἀπὸ

---

6. τὴν γῆν, so LXX. Codd. D^sil E, *Vat. Rom.*; om. Cod. A. Philo omits εἰς τὸ μῆκος αὐτῆς (LXX.).

7. ὁ θεὸς (*Quod det. pot. insid.* § 44, *De Abrah.* § 17), but κύριος in LXX.: κύριος ὁ θεὸς is found in one cursive (129), acc. to H. and P., and Chrys. *Homil. in Gen.* xxxii. 2; ὁ θεὸς only elsewhere in Orig. i. 437, and Cat. Niceph. ΑΔΗΛΟΥ. οὐκ εἶπεν, εἶδεν Ἀβραὰμ τὸν θεόν, ὤφθη δὲ ὁ θεὸς τῷ Ἀβραάμ. ἡμῖν γὰρ οὐδαμῶς ἐφικτὸν τόδε, φιλανθρωπίᾳ δὲ θεὸς ὀπτάνεται, ὡς οἶδε. Heb. יהוה.

xiv. 7. ἦλθον (*De Profug.* § 35), so LXX. *Vat. Rom.*: ἤλθοσαν LXX. Cod. A.

Καδδής (*ibid.*), LXX. Καδής.

τῆς κοπῆς τοῦ Χοδολλογόμορ καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ (*De Ebriet.* § 6, i. 360).

18 Καὶ Μελχισεδὲκ *βασιλέα τε τῆς εἰρήνης* Σαλήμ—*τοῦτο γὰρ ἑρμηνεύεται—ἱερέα ἑαυτοῦ πεποίηκεν ὁ θεός* (*Leg. Allegor.* iii. § 25, i. 102).

Θεοῦ *γὰρ τοῦ ὑψίστου ἐστὶν ἱερεύς...ἄρτους γὰρ καὶ οἶνον προσφέρει...* (*ibid.* § 26, i. 103).

20 Ἔδωκε *γάρ, φησίν, αὐτῷ δεκάτην ἀπὸ πάντων* (*De Congr. Erud. grat.* § 18, i. 533).

21 Καθάπερ *καὶ* Ἀβραὰμ *τῷ* Σοδόμων *βασιλεῖ τεχνάζοντι ἀλόγου φύσεως ποιήσασθαι ἀντίδοσιν πρὸς λογικήν,*
22 *ἵππου πρὸς ἄνδρας, φησί, μηδὲν λήψεσθαι τῶν ἐκείνου, ἀλλ' ἐκτενεῖν τὴν ψυχικὴν πρᾶξιν, ὅπερ διὰ τοῦ συμβόλου χεῖρα ὠνόμασε, πρὸς τὸν θεὸν τὸν*
23 *ὕψιστον· μὴ γὰρ λήψεσθαι ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος ἀπὸ πάντων τῶν ἐκείνου, ἵνα μὴ εἴπῃ πλούσιον πεποιηκέναι τὸν ὁρῶντα, πενίαν ἀρετῆς τῆς πλουσίας ἀντιδιδούς* (*Leg. Allegor.* iii. § 8, i. 92).

Οὗ *χάριν καὶ* Ἀβραὰμ *ἀκολουθῶν τῷ θεοῦ θελήματι, τὰ μὲν ὑπάρχοντα ἅπερ ἦν αὐτῷ ἐκ θεοῦ κατέχει· ἀποπέμπεται δὲ τὴν ἵππον τοῦ βασιλέως* Σοδόμων, *ὡς καὶ τὰ ὑπαρκτὰ τῶν παλλακῶν* (*ibid.* § 70, i. 126).

22 Οὕτως *τὸν σοφὸν* Ἀβραὰμ *μετὰ τὴν τῶν ἐννέα καθαίρεσιν βασιλέων, παθῶν μὲν τεττάρων, πέντε δὲ αἰσθητικῶν δυνάμεων, αἳ παρὰ φύσιν ἐκινοῦντο, εἰσάγει*

---

17. Χοδολλογόμορ (*De Ebriet.* § 6), so LXX. Cod. A, *Vat. Rom.*, Cod. D Χοδολλογάμορ. Josephus, *Ant.* I. ix. 1 has Χοδολάμορος.

18. Μελχισεδὲκ βασιλέα τε τῆς εἰρήνης (*Leg. Allegor.* iii. § 25), cf. Heb. vii. 1, 2.

21. LXX. τὴν δὲ ἵππον λαβὲ σεαυτῷ.

*τὸν εὐχαριστικὸν ὕμνον ἐξάρχοντα καὶ φάσκοντα ταυτί·
Ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον,*
23 *ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, εἰ ἀπὸ σπαρτίου
ἕως σφαιρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάν-
των τῶν σῶν* (*De Ebriet.* § 27, i. 373).

cf. *De Abrahamo*, § 40, ii. 34.

24 *Τῶν γάρ, φησί, συμπορευθέντων ἀνδρῶν μετ' ἐμοῦ
Ἔσχωλ, Αὔναν, Μαμβρῆ, οὗτοι λήψονται μερίδα* (*De
Migrat. Abrah.* § 30, i. 461).

XV. 1 *Ἐπειδὴ γὰρ θεσπισθέντος λογίου τοιούτου ὁ σοφὸς
ἤκουσεν· Ὁ μισθός σου πολὺς σφόδρα, πυνθάνεται*
2 *φάσκων· Τί μοι, δέσποτα, δώσεις, ἐγὼ δὲ ἀπελεύσομαι
ἄτεκνος, ὁ δὲ υἱός μου ὁ ἐκ τῆς οἰκετίδος μου κληρονομήσει
με, οὗτος Δαμασκὸς Ἐλιέζερ καὶ πάλιν, Ἐπειδὴ ἐμοὶ οὐκ
ἔδωκας σπέρμα, ὁ δὲ οἰκογενής μου κληρονομήσει με*
(*Quis rerum div. heres*, § 1, i. 473; cf. § 12, i. 481).

---

24. *τῶν...συμπορευθ. ἀνδρῶν* (*De Ebriet.* § 27), LXX. *τῶν ἀνδρῶν τῶν συμπορευθ.*

XV. 1. *πολὺς σφόδρα*, LXX. *πολὺς ἔσται σφόδρα.*

2. *δέσποτα* (*Quis rerum div. heres*, § 1), *ὦ δέσποτα* (*ibid.* § 6): *δέσποτα κύριε* LXX. Cod. *D*, *Vat. Rom.*

κύριε is omitted in many cursives (H. and P.) and by Chrys. *Homil. in Gen.* xxxvi. 3.

The Hebrew has the double form אדני יהוה.

ἀπελεύσομαι (*Quis rerum div. heres*, § 1), *ἀπολυθήσομαι* (*ibid.* § 7). The latter is evidently only a variation of the LXX. *ἀπολύομαι*. But *ἀπελεύσομαι* is possibly a distinct rendering of the Hebr. הולך, like that of Aquila, *ἀπέρχομαι*.

ὁ δὲ υἱός μου ὁ ἐκ τῆς οἰκετίδος (*Quis rerum div. heres*, § 1). "Textus sacer *Μασέκ*. Sic quoque Philo notanter, infra p. 489, *παγκαλῶς δὲ τὸν Δαμασκόν, οὐκ ἀπὸ πατρός, ἀλλ' ἀπὸ μητρὸς τῆς Μασὲκ διασυνίστησιν*. Facili errore *μου ὁ ἐκ* scriptum pro *Μασέκ*" (Mangey).

οἰκετίδος, LXX. *οἰκογενοῦς*. Philo uses the more familiar word.

τὸ μὲν γάρ, Τί μοι δώσεις; θάρσος ἐμφαίνει, τὸ δέ, ὦ δέσποτα, εὐλάβειαν (*ibid.* § 6, i. 476).

Ἐγὼ ἀπολυθήσομαι ἄτεκνος (*ibid.* § 7, i. 478).

Δίδαξον δέ με καὶ ἐκεῖνο· Εἰ ὁ υἱὸς Μασὲκ τῆς οἰκογενοῦς μου, τῶν σῶν χαρίτων ἱκανὸς γενέσθαι κληρόνομος ἐστίν...Τίς δὲ ἡ Μασέκ, καὶ τίς αὐτῆς ὁ υἱός, οὐ παρέργως ἐπισκεπτέον. Ἑρμηνεύεται τοίνυν Μασὲκ ἐκ φιλήματος (*ibid.*).

3 Πυνθάνεται γὰρ τοῦτον τὸν τρόπον· Ἐπειδὴ ἐμοὶ οὐκ
ἔδωκας σπέρμα τὸ αὐτοδίδακτον, τὸ νοητὸν ἐκεῖνο, ἆρά γε
4 ὁ οἰκογενής μου κληρονομήσει με;...Εὐθὺς γάρ, φησί,
φωνὴ θεοῦ ἐγένετο πρὸς αὐτόν, τῷ λέγειν· Οὐ κληρονομήσει σε οὗτος, τῶν εἰς τὴν δι' αἰσθήσεως δεῖξιν ἐρχομένων οὐδὲ εἷς (*ibid.* § 13, i. 482).

ὡς ἐδήλου τὸ χρησθὲν πρὸ μικροῦ τόδε· Οὐ κληρονομήσει σε οὗτος, ἀλλ' ὃς ἐξελεύσεται ἐκ σοῦ (*De Mutat. Nom.* § 33, i. 605).

5 Διὸ καί φησιν· Ἐξήγαγεν αὐτὸν ἔξω καὶ εἶπεν· Ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἀρίθμησον τοὺς ἀστέρας (*Leg. Allegor.* iii. § 13, i. 95).

Προαγαγὼν δὲ αὐτὸν ἔξω, φησίν, Ἀνάβλεψον εἰς τὸν

---

4. φωνὴ θεοῦ (*Quis rerum div. heres*, § 7); LXX. φωνὴ κυρίου θεοῦ is found in numerous cursives (H. and P.), and in Chrys. *Homil. in Gen.* xxxvi. 4. Hebr. יהוה.

τῷ λέγειν. LXX. Cod. D λέγων, *Vat. Rom.* λέγουσα: Philo's reading, which is also that of Aquila, is probably the survival of an early literal rendering of לאמר.

5. εἶπεν (*Leg. Allegor.* iii. § 13); + πρὸς αὐτόν LXX.; + αὐτῷ *Ep. Clem. ad Cor.* x. 3. The pronoun is wanting in the Hebr.

Ἀνάβλεψον (*Quis rerum div. heres*, § 17); + δὴ LXX.: omit *Ep. Clem. ad Cor.*

οὐρανὸν καὶ ἀρίθμησον τοὺς ἀστέρας, ἐὰν δυνηθῇς ἐξαριθμῆσαι αὐτούς. Οὕτως ἔσται τὸ σπέρμα σοῦ (*Quis rerum div. heres*, § 17, i. 485).

6 *Ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ* (*ib.* § 18, i. 485; *De Migr. Abr.* § 9, i. 443).

Ἀβραάμ γέ τοι ἐπίστευσε τῷ θεῷ, καὶ δίκαιος ἐνομίσθη (*Leg. Allegor.* iii. § 81, i. 132; cf. *Quod deus immut.* § 1, i. 273).

Εὖ δὲ τὸ φάναι· Λογισθῆναι τὴν πίστιν εἰς δικαιοσύνην αὐτῷ (*Quis rerum div. heres*, § 19, i. 486).

Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην (*De Mutat. Nom.* § 33, i. 605, cf. § 14, cf. *De Abrah.* § 46, ii. 38; *De Nobilit.* § 5, ii. 442).

Πεπίστευκεν οὖν Ἀβραὰμ τῷ θεῷ (*De Mutat. Nom.* § 34, i. 606).

Φησὶ γάρ· Κατ' ἐμαυτοῦ ὤμοσα (*De Abrah.* § 47, ii. 39).

7 *Εἶπε δέ, φησί, πρὸς αὐτόν· Ἐγὼ ὁ θεὸς ὁ ἐξαγαγών σε ἐκ γῆς Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι* (*Quis rerum div. heres*, § 20, i. 486).

ἐὰν δυνηθῇς (*Quis rerum div. heres*, § 17); εἰ δυνήσῃ LXX.

Οὕτως ἔσται (*ibid.*) follows upon αὐτούς, so also in *Ep. Clem. ad Cor.* In the LXX. it is preceded by καὶ εἶπεν; so Hebr. But Philo condenses.

6. δίκαιος ἐνομίσθη (*Leg. Allegor.* iii. § 81), probably a paraphrase for the LXX. ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην: cf. Rom. iv. 3, Gal. iii. 6, James ii. 23.

Πεπίστευκεν (*De Mutat. Nom.* § 34), but Philo generally ἐπίστευσεν as LXX.

7. ἐκ γῆς Χαλδ., but Cod. Vat. has χώρας in *Quis rerum div. heres*, § 20, following the LXX.

κληρονομῆσαι, so LXX. Cod. A, *Vat. Rom.*; + αὐτὴν Cod. *D* and Chrys. *Homil. in Gen.* xxxvii. 1.

[Quid est: "Ego sum dominus deus tuus, qui eduxi te de terra Chaldaeorum, ut darem tibi terram hanc in hereditatem"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 1, A. ii. 167).]

8 *Κύριε θεέ, κατὰ τί γνώσομαι, ὅτι κληρονομήσω αὐτήν;* (*Quis rerum div. heres*, § 21, i. 487).

[Cur dicit: "Domine, secundum quid noscam, quod hereditabo eam"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 2, A. ii. 168).]

9 *Λαβέ μοι, φησί, δάμαλιν...λαβέ μοι καὶ κριόν...λαβέ μοι...αἶγα...πάντα τριετίζοντα...Πρὸς δὲ τούτοις τρυγόνα τε καὶ περιστεράν* (*Quis rerum div. heres*, § 25, i. 490).

[Quare dicit: "Accipe mihi juvencam trimam et capram trimam, et arietem trimum, turturem et columbam"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 3, A. ii. 169).]

10 *Ἔλαβε, φησίν, αὐτῷ ταῦτα πάντα* (*Quis rer. div. heres*, § 26, i. 491).

Διδάξας οὖν ἡμᾶς περὶ τῆς εἰς ἴσα τομῆς ὁ ἱερὸς λόγος, καὶ πρὸς τὴν τῶν ἐναντίων ἐπιστήμην ἄγει, φάσκων, ὅτι τὰ τμήματα ἔθηκεν ἀντιπρόσωπα ἀλλήλοις (*ibid.* § 43, i. 502).

---

8. *Κύριε θεέ* (*Quis rerum div. heres*, § 21), so LXX. cursives 19, 108 (H. and P.); but *δέσποτα κύριε* LXX. Codd. AD, *Vat. Rom.*, Chrys. *Homil. in Gen.* xxxvii. 2. The Hebrew is the same as in ver. 2 אדני יהוה, where Philo has *δέσποτα*; and it is noticeable that here in *Quaestt.*, he only renders one of the names, "Domine."

9. Philo's order of *δάμαλιν...κριόν...αἶγα* differs from that of the LXX., which is *δάμαλιν...αἶγα...κριόν*; but the LXX. order is found in *Quaestt.*

10. *αὐτῷ* (*Quis rerum div. heres*, § 26), so LXX. Cod. A *Vat. Rom.*, but *ἑαυτῷ* Cod. *D.* "Ad Deum referendum vult Philo" (Aucher). *ταῦτα πάντα*, LXX. *πάντα ταῦτα.*

τὰ δὲ ὄρνεα οὐ διεῖλεν (*ibid.* § 48, i. 505).

[Quare dicit: "Accepit autem ei haec omnia"?... Quid est, "Divisit ea per medium et posuit contra se invicem"?...Quare dicit, "Aves autem non divisit"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. §§ 4—6, A. ii. 175—178).]

11 *Κατέβη δὲ ὄρνεα ἐπὶ τὰ σώματα τὰ διχοτομηθέντα* (*Quis rerum div. heres*, § 49, i. 506).

[Quid est, "Descenderuntque aves in corpora divisa"? ...Quare dicit, "Transiit seditque super illa Abraam"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. §§ 7, 8, A. ii. 179, 180).]

Αἰνιττόμενος γὰρ τοὺς τῆς ψυχῆς **πολεμίους** *ὄρνεα εἰσήγαγε γλιχόμενα ἐμπλέκεσθαι καὶ ἐμφύεσθαι σώμασι καὶ σαρκῶν ἐμφορεῖσθαι, ὧν τὰς ἐφόδους καὶ ἐπιδρομὰς ἐπισχεῖν βουληθεὶς ὁ ἀστεῖος λέγεται αὐτοῖς ἐγκαθίσαι,*

---

11. *τὰ διχοτομηθέντα* (*Quis rerum div. heres*, § 45), so LXX. cursives 20. 75 (H. and P.), and Chrys. *Homil. in Gen.* xxxvii. 2: LXX. Codd. AD *τὰ διχοτομήματα αὐτῶν*, *Vat. Rom.* *ἐπὶ τὰ διχοτομήματα αὐτῶν.*

πολεμίους, Mangey's Text has *πολέμους*; but, as his note says, 'melius *πολεμίους*' in view of the words used a little earlier, *τὰ γοῦν πολέμια τῆς ψυχῆς ἐπιπετώμενα καὶ ἐπιφοιτῶντα νοήματα.*

ἐγκαθίσαι (*Quis rerum div. heres*, § 50), from which it might be inferred that Philo read here *ἐνεκάθισεν αὐτοῖς*. But the LXX. has *συνεκάθισεν αὐτοῖς* Ἀβρ.; and the simile used by Philo *οἷα πρόεδρος κ.τ.λ.* agrees much better with the verb *συγκαθίζειν* than with the verb *ἐγκαθίζειν*: cf. *Quaestt.*, "velut in synagoga sedens vir probus."

The LXX. rendering is due to the well-known misinterpretation of וישב אתם, which was rendered as וַיֵּשֶׁב אִתָּם instead of as וַיַּשֵּׁב אֹתָם. Aquila rightly *ἀπεσόβησεν*: Jerome, who gives "sedit

οἷα πρόεδρός τις ἢ πρόβουλος ὢν (*Quis rerum div. heres*, § 50, i. 507).

12 Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἔπεσεν ἐπὶ Ἀβραάμ, *καὶ ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ* (*ibid.* § 51, i. 508).

Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσεν ἐπὶ τὸν Ἀβραάμ (*ibid.* § 52 bis, i. 510, 511).

[Quid est, "Sub occasu solis ecstasis cecidit super Abraam, et ecce horror magnus tenebrosus incidit ei"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. § 9, i. 181).]

13 Τὸ δὲ *ἀκόλουθον προσυφαίνει τῇ γραφῇ, φάσκων·* Ἐῤῥέθη πρὸς Ἀβραάμ...Γινώσκων γάρ, φησί, γνώσῃ, ὅτι *πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ* (*Quis rerum div. heres*, § 54, i. 511).

[Quare dictum est ad eum: "Certo scies (*ad verb.* noscens nosce), quod peregrinum erit semen tuum in terra non sua, et in servitutem redigetur, et affligetur quadringentis annis"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. § 10, A. ii. 181).]

14 Τὸ δὲ *ἔθνος ᾧ ἂν δουλεύσωσι κρινῶ ἐγώ· μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς* (*Quis rerum div. heres*, § 55, i. 512).

[Quare inducit: "Verumtamen gentem cui servituri sunt ego judicabo; et post haec egredientur huc cum

---

cum eis Abram," adds "pro his quae posuimus in Hebraeo habet ...et abigebat eas Abram."

12. *ἔπεσεν ἐπὶ* (*Quis rerum div. heres*, § 51), *ἐπέπεσεν ἐπὶ τὸν* (*ibid.* § 52); LXX. *ἐπέπεσε τῷ.*

14. *ἂν*, LXX. *ἐάν.*

Acts vii. 6, 7 *ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ,... καὶ τὸ ἔθνος ᾧ ἂν δουλεύσουσιν κρινῶ ἐγώ.*

magna substantia" (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 10, A. ii. 183).]

15 Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου, μετ' εἰρήνης τραφεὶς ἐν γήρᾳ καλῷ (*Quis rerum div. heres*, § 56, i. 512).

[Quid est, "Tu autem ibis ad patres tuos cum pace nutritus in senecta pulchra"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 11, A. ii. 184).]

16 Τετάρτῃ γενεᾷ ἀποστραφήσονται ὧδε (*Quis rerum div. heres*, § 59, i. 516).

Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἀνομίαι τῶν Ἀμοῤῥαίων (*ibid.* § 60, i. 516).

Ἕως μὲν οὖν οὐκ ἀναπεπλήρωται τὰ ἁμαρτήματα τῶν Ἀμοῤῥαίων, τουτέστι τῶν σοφιστικῶν λόγων (*ibid.* i. 517).

[Cur dicat, "Quarta aetate revertentur huc"?...Quid est, "Necdum impleta sunt peccata Amorrhaeorum usque adhuc"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. §§ 12, 13, A. ii. 185, 186).]

17 Ἐπεὶ δὲ ἐγένετο ὁ ἥλιος πρὸς δυσμάς, φλὸξ ἐγένετο...

---

15. *μετ' εἰρήνης*, *Quaestt.* 'cum pace,' so LXX. Cod. A; but LXX. Cod. D *τραφεὶς ἐν εἰρήνῃ*, *Vat. Rom.* *ἐν εἰρήνῃ, τραφείς*.

τραφείς. Mangey erroneously, "Aquila vero et Symmachus habent *ταφείς*, ut et unica Complutensis editio." Field quotes Nobilius, "Omnes LL. VV. *τραφείς*; nusquam *ταφείς* [ut Comp., et char. min. Grabe]."

γήρᾳ. So LXX. *Vat. Rom.*: *γήρει* Codd. A*D* and many cursives (H. and P.).

16. *αἱ ἀνομίαι* (*Quis rerum div. heres*, § 60), *τὰ ἁμαρτήματα* (*ibid.*), LXX. *αἱ ἁμαρτίαι*.

Philo, except in *Quaestt.* 'usque adhuc,' omits *ἕως τοῦ νῦν* at the end of the verse.

17. *ἐγένετο* (*ibid.* § 61), so LXX. *Vat. Rom.*; but Cod. *D* *ἐγείνετο*.

πρὸς δυσμὰς (*ibid.*), so LXX. *Vat. Rom.*, Chrys. *Homil. in Gen.* xxxvii. § 4, but *πρὸς δυσμαῖς* Cod. D.

Κλιβάνου δὲ εἰλικρινὲς πῦρ οὐκ ἔχοντος, ἀλλ' ὡς αὐτὸς ἔφη καπνιζομένου τρόπον διακείμεθα...Κλιβάνῳ δὲ νῦν ἐξωμοίωσε τὴν ψυχὴν τοῦ φιλομαθοῦς...Λαμπάδες πυρός, αἳ διῆλθον μέσον τῶν διχοτομημάτων (*Quis rerum div. heres*, § 61, i. 517, 518).

[Quid est, "Quum sol esset ad occasum, flamma facta est"?...Quid est, "Ecce clibanus fumans et lampades ignis, quae pertransierunt per medias divisiones illas"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. §§ 14, 15, 187).]

18 Ἐν γὰρ τῇ ἡμέρᾳ, φησίν, ἐκείνῃ συνέθετο κύριος τῷ Ἀβραὰμ συνθήκην λέγων· Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην....Ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου, ποταμοῦ Εὐφράτου (*Quis rerum div. heres*, § 62, i. 518).

Καὶ Ἀβραὰμ μέντοι τῷ σοφῷ δώσειν φησὶ κλῆρον γῆς, ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου (*De Somn.* ii. § 39, i. 692).

[Cur dixerit: "In die illa testamentum posuit cum Abrahamo, dicens; Semini tuo dabo terram hanc a flumine Aegypti usque ad flumen magnum Euphratem"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 16, A. ii. 187).]

19 Τὸν αὐτὸν δὲ τρόπον καὶ Ἀβραὰμ ὑπισχνεῖται τῷ σοφῷ, οὔτε πλειόνων, οὔτε ἐλαττόνων, ἀλλ' αὐτὸ μόνον

μέσον (*Quis rerum div. heres*, § 61), LXX. ἀνὰ μέσον.

διχοτομημάτων, LXX. + τούτων; so *Quaestt.* 'illas.'

18. συνέθετο...συνθήκην (*ibid.* § 62), LXX. διέθετο...διαθήκην.

ποταμοῦ Εὐφράτου (*ibid.* § 62), Philo here reproduces the Hebrew literally עד־הנהר הגדול נהר־פרת. In *De Somn.* ii. § 39 and *Quaestt.*, he follows the LXX., omitting the second ποταμοῦ.

δέκα ἐθνῶν ἀπώλειαν καὶ παντελῆ φθορὰν ἐργάσεσθαι (*De Congr. Erud. grat.* § 21, i. 536).

[Qui sint Cenaei, Cenezaei, Cedmonaei, Chettaei, Pherezaei, Raphaim, Amorrhaei, Chananaei, Gergesaei et Jebusaei? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. § 17, A. ii. 188).]

xvi. 1 Σάῤῥα δὲ ἡ γυνὴ Ἀβραὰμ οὐκ ἔτικτεν αὐτῷ. Ἦν
2 δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ. Εἶπε δὲ
Σάῤῥα πρὸς Ἀβραάμ· Ἰδοὺ συνέκλεισέ με ὁ κύριος τοῦ
μὴ τίκτειν· εἴσελθε πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνο-
ποιήσῃς ἐξ αὐτῆς (*De Congr. Erud. grat.* § 1, i. 519 and
§ 3, i. 521).

[Quare "Sara uxor Abrahae non generabat (s. pariebat) ei"?...Quid est, "Erat ei ancilla Aegyptia, cui nomen erat Agar"?...Cur dixit Sara ad Abraham: Ecce conclusit me dominus, ut non pariam; intra ad ancillam meam, ut puerum facias ex illa? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. §§ 18—20, A. ii. 189—191).]

---

19. Philo in *Quaestt.* enumerates *ten* nations: the LXX., inserting the Hivites (καὶ τοὺς Εὐαίους) between the Canaanites and the Girgashites, enumerates *eleven*. But καὶ τοὺς Εὐαίους are wanting in several cursives, and in "Copt. Arab. 3. Arm. 1. Arm. ed." (H. and P.) and in Cat. Niceph.

xvi. 2. εἴσελθε, LXX. + οὖν.

τεκνοποιήσῃς, so LXX. Cod. X (Coislin.), acc. to H. and P., Chrys. *Homil. in Gen.* xxxviii.: Cod. A τεκνοποιήσεις: Cod. D τεκνοποιήσω. *Vat. Rom.* τεκνοποιήσωμαι.

The Hebrew is אבנה, which Aquila renders literally εἴ πως οἰκοδομηθήσομαι: cf. Jerome *Quaestt. Hebraic. in Gen.*: "Diligenter nota quod procreatio filiorum in Hebraeo *aedificatio* scripta est; legitur enim ibi, *Ingredere ad ancillam meam, si quo modo aedificer ex ea.*" The 2nd Pers. Sing. is due to the translator's failure to understand the metaphorical use of the Hebrew word.

Ὑπήκουσε, φησίν, Ἀβραὰμ τῆς φωνῆς Σάῤῥας (*De Congr. Erud. grat.* § 13, i. 529).

3 Λαβοῦσα οὖν, φησί, Σάῤῥα ἡ γυνὴ Ἀβραὰμ Ἄγαρ τὴν Αἰγυπτίαν, τὴν ἑαυτῆς παιδίσκην, μετὰ δέκα ἔτη τοῦ οἰκῆσαι Ἀβραὰμ ἐν γῇ Χαναάν, ἔδωκε τῷ Ἀβραὰμ τῷ αὑτῆς ἀνδρί, αὐτῷ εἰς γυναῖκα (*ibid.* § 14, i. 529).

[Quare mulierem Abrahae dixit Saram? Ait enim: "Sumens Sara mulier Abrahae ancillam suam Agar Aegyptiam dedit in manus ejus" (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 21, A. ii. 192).]

4 Ἰδοῦσα ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθη ἐνώπιον αὐτῆς (*De Congr. Erud. grat.* § 25, i. 539).

[Quid est, "Quum vidit se concepisse, despecta est domina coram ipsa"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 22, A. ii. 193).]

5 Κρίναι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ (*De Congr. Erud. grat.* § 27, i. 541).

[Cur Saram quasi poenitet dicentem ad Abraham: "Injuriam accipio ex te: ego dedi ancillam meam in sinum tuum; nunc autem quia vidit se concepisse, spreta sum coram ea"?...in ultimis dicit, "Judicet deus inter me et te" (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 23, A. ii. 194).]

6 Ἰδοὺ ἡ παιδίσκη ἐν ταῖς χερσί σου, χρῶ αὐτῇ ὡς ἄν σοι ἀρεστόν (*De Congr. Erud. grat.* § 27, i. 541).

---

3. ἔδωκε, so LXX. *Vat. Rom.*; καὶ ἔδωκεν Codd. AD.

LXX. Cod. A, *Vat. Rom.* αὐτὴν τῷ Ἀβρὰμ ἀνδρὶ αὐτῆς αὐτῷ γυναῖκα. Philo's εἰς γυναῖκα is closer to לאשה than the LXX.

4. ἐνώπιον (*De Congr. Erud. grat.* § 25); LXX. *Vat. Rom.* καὶ ἠτιμάσθη ἡ κυρία ἐναντίον αὐτῆς.

6. ἡ παιδίσκη (*ibid.* § 27); LXX. + σου; so *Quaestt.*

[Quare dixit Abraham: "Ecce ancilla tua in manibus tuis; fac cum illa, quomodo tibi placuerit"?...Cur dicit: "Afflixit eam Sara"?...Quare fugam capessit a facie ejus? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. §§ 24—26, A. ii. 195—197).]

Καὶ ἐκάκωσεν αὐτήν (*De Congr. Erud. grat.* § 28, i. 542).

6—12 Καὶ ἐκάκωσεν αὐτὴν Σάῤῥα, καὶ ἀπέδρα ἀπὸ τοῦ
7 προσώπου αὐτῆς. Εὗρε δὲ αὐτὴν ἄγγελος κυρίου ἐπὶ
τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ, ἐπὶ τῆς πηγῆς τῆς ἐν
8 τῇ ὁδῷ Σούρ. Καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος κυρίου·
Παιδίσκη Σάῤῥας, πόθεν ἔρχῃ, καὶ ποῦ πορεύῃ; Καὶ
εἶπεν· Ἀπὸ προσώπου Σάῤῥας τῆς κυρίας μου ἐγὼ
9 ἀποδιδράσκω. Εἶπε δὲ αὐτῇ ὁ ἄγγελος κυρίου· Ἀπο-
στράφηθι πρὸς τὴν κυρίαν σου, καὶ ταπεινώθητι ὑπὸ
10 τὰς χεῖρας αὐτῆς. Καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος κυρίου·
11 Σὺ ἐν γαστρὶ ἔχεις, καὶ τέξεις υἱόν, καὶ καλέσεις τὸ ὄνομα
αὐτοῦ Ἰσμαήλ· ὅτι ἐπήκουσε κύριος τῇ ταπεινώσει σου.

ἐν ταῖς χερσί σου, so LXX. Cod. D^{sil}, as Hebr. בידיך. But *ἐναντίον σου* LXX. *Vat. Rom.*

ἀρεστόν, LXX. + *ᾖ*.

τοῦ προσώπου, LXX. om. *τοῦ*.

7. *κυρίου* (*De Profug.* § 1), so LXX. *Vat. Rom.*; LXX. Cod. D + *τοῦ θεοῦ*. Philo follows the Hebrew which has only יהוה.

ἐν τῇ ὁδῷ (*ibid.* § 1), so LXX.: *καθ' ὁδόν* (*ibid.* § 22).

8. *Παιδίσκη* (*ibid.* § 1); pr. *Ἁγὰρ* LXX.

10. Philo (*De Profug.* § 1) omits, possibly from homoeoteleuton after *ὁ ἄγγελος κυρίου*, the whole passage from *πληθύνων*.(ver. 10) to *ἰδοὺ* (ver. 11). But it is found in *Quaestt.*

"Inquit" (*Quaestt.*) "videtur referri ad Deum cujus oraculum dicebat angelus" (Aucher).

11. *τέξεις υἱὸν* (*De Profug.* § 1), *τέξεις παιδίον* (*ibid.* § 37). LXX. *τέξῃ υἱόν*.

12 *Οὗτος ἔσται ἄγροικος ἄνθρωπος· αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας, καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτόν* (*De Profug.* § 1, i. 546, 547; cf. § 37, i. 576; §§ 32, 37, i. 572, 576).

7 *Εὗρεν αὐτὴν ἄγγελος κυρίου καθ' ὁδόν* (*ibid.* § 22, i. 563).

[Quid est, "Invenit eam angelus domini super fontem aquae in deserto, in via Sur"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 27, A. ii. 197).

8, 9 [Quare dixit ad illam angelus: "Agar ancilla Sarae, unde venis? et quo vadis"?...Quid est, "A facie Sarae dominae meae ego fugio"?...Quare dixit ei angelus, "Revertere ad dominam tuam, et humiliare sub manibus
10 ejus"?...Cur dixit ei Angelus: "Multiplicabo inquit semen tuum, et non numerabitur prae multitudine"?...Quid est,
11 quod "Dixit ei angelus: Ecce tu praegnans es, et paries filium, et vocabis nomen ejus Ismael, quia exaudivit dominus miseriam tuam"? (*ibid.* §§ 28—31, A. ii. 199—202).]

Ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις, καὶ τέξεις παιδίον, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ (*De Profug.* § 37, i. 566).

12 *Κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν κατοικήσει* (*De Profug.* § 38, i. 577).

[Quid est, "Hic erit agrestis homo, manus hujus super omnes, et manus omnium super istum, et contra omnes fratres suos habitabit"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 33, A. ii. 202).]

13 *Σὺ θεὸς ὁ ἐπιδών με* (*De Profug.* § 38, i. 577).

---

12. *ἀδελφῶν* (*De Profug.* § 38), + *αὐτοῦ* LXX.; cf. 'suos' (*Quaestt.*).

13. *Σὺ θεὸς* (*ibid.* § 38); *σὺ ὁ θεὸς* (*De Somn.* i. § 41), so LXX. *ἐπιδών* (*De Somn.*), so LXX. *Vat. Rom.*; *ἐφιδών* Codd. AD.

Οὐχ ὁρᾷς τὴν ἐγκύκλιον παιδείαν Ἄγαρ, ὅτι τῷ ἀγγέλῳ φησί· Σὺ ὁ θεὸς ὁ ἐπιδών με; (*De Somn.* i. § 41, i. 656).

[Quare dicit: "Vocavit autem (Agar) nomen domini, qui loquebatur ad eam: Tu deus, qui respexisti me. Quia dixit: Etenim coram vidi apparentem mihi"?...
14 Quid est, "Propter hoc vocavit puteum illum, Puteum ejus quem coram vidi"?...Quare puteus inter Cades et inter
15 Pharan dicitur fuisse?...Quid est, "Peperit Agar Abrahae
16 filium"?...Quare octoginta et sex annorum esse Abraham dicitur, quum peperit ei Agar Ismaelem? (*Quaestt. et Sol. in Gen., Sermo* iii. §§ 34—38, A. ii. 203—206).]

14—15 Διὰ τοῦτο, φησίν, ἐκάλεσε τὸ φρέαρ, φρέαρ οὗ ἐνώπιον εἶδον...Οἰκειότατος δὲ καὶ ὁ τοιούτου φρέατος τόπος ἐν μέσῳ καδδῆς καὶ βάραδ, ἑρμηνεύεται δὲ βάραδ μὲν ἐν κοινοῖς, καδδῆς δὲ ἁγία (*De Profug.* § 38, i. 577).

xvii. 1 Ὅταν δὲ βελτιωθεὶς μέλλῃ μετονομάζεσθαι, γίνεται ἄνθρωπος θεοῦ, κατὰ τὸ χρησθὲν αὐτῷ λόγιον, Ἐγώ εἰμι ὁ θεός σου, εὐαρέστει ἐναντίον ἐμοῦ, καὶ γίνου ἄμεμπτος (*De Gigant.* § 13, i. 271; cf. *De decem Orac.* § 13, ii. 186).

Ἐγένετο Ἀβραὰμ ἐτῶν ἐννενήκοντα ἐννέα, καὶ ὤφθη κύριος τῷ Ἀβραὰμ καὶ εἶπεν αὐτῷ· Ἐγώ εἰμι θεὸς σός (*De Mut. Nom.* §§ 1, 3, i. 578, 581, 582 *bis*).

Μάρτυρες δὲ οἱ χρησμοί, ἐν οἷς λέγεται τῷ Ἀβραὰμ

---

14. ἐν μέσῳ καδδῆς καὶ βάραδ (*De Profug.* § 38); LXX. ἀνὰ μέσον καδῆς καὶ ἀνὰ μέσον βάραδ.

xvii. 1. θεὸς σός (*De Mutat. Nomin.* § 1); ὁ θεός σου (*De Gigant.* § 13), so LXX. *Quaestt.* has 'dominus deus.'

ἐναντίον ἐμοῦ (*De Gigant.*), so LXX. Codd. AD, Chrys.: ἐνώπιον ἐμοῦ (*De Mutat. Nomin.*), so LXX. *Vat. Rom.*, Procop. Gaz. (p. 129, but ἐναντίον, p. 130).

ἐκ προσώπου τοῦ θεοῦ· Εὐαρεστήσεις ἐνώπιον ἐμοῦ (*ibid.* § 5, i. 584).

Εἰπὼν δέ, Εὐαρέστει ἐνώπιον ἐμοῦ, προσεπιλέγει· Καὶ γίνου ἄμεμπτος (*ibid.* § 6, i. 585 *bis*).

[Quare nonaginta et novem annorum facto, ait, apparuit dominus deus et dixit: Ego dominus sum deus tuus?...Quid est "Complace coram me et esto immacu-
2 latus: et ponam foedus meum inter me et inter te, et multiplicabo te nimis valde"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. §§ 39, 40, A. ii. 207, 208).]

θήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ (*De Mutat. Nomin.* § 6, i. 586).

3 *Ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον* (*ibid.* § 7, i. 586).

[Quid est, "Procidit Abraham super faciem"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. § 41, A. ii. 209).]

4, 5 *Κἀγώ, ἰδοὺ ἡ διαθήκη μου μετὰ σοῦ...Οὐ κληθήσεται τὸ ὄνομά σου Ἀβράμ, ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραάμ* (*De Mutat. Nomin.* § 8, i. 587).

[Quid est, "Locutus est autem cum illo deus, dicens: Et ego, ecce pactum meum tecum, et eris pater multitudinis gentium"?...Quid est, "Non vocabitur nomen tuum Abram, sed Abraham erit nomen tuum"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. § 43, A. ii. 210—212).]

6 [Quid est, "Augebo te valde, et ponam te in gentes, et

εὐαρεστήσεις (*De Mutat. Nomin.* § 5); but εὐαρέστει (*ibid.* § 6) as LXX.

2. θήσω (*ibid.* § 6), LXX. θήσομαι.

5. κληθήσεται, LXX. + ἔτι.

τὸ ὄνομά σου Ἀβρ., so LXX. Cod. D, *Vat. Rom.*, Orig. *Select. in Gen.*: but Cod. A Ἀβρ. τὸ ὄνομά σου.

6. "Valde" (*Quaest.*), so σφόδρα LXX. Cod. A; σφόδρα σφόδρα Cod. D, *Vat. Rom.*, Procop. Gaz.

8 reges ex te fiant" ?...Quid est, "Dabo tibi et semini tuo
post te terram hanc, in qua tu peregrinatione habitasti,
omnem terram Chanaan in possessionem aeternam" ?...
Quid est, "Circumcidetur omne vestrum masculinum, et
circumcidetis (s. circumcidemini) carnem praeputii vestri"?
12 ...Cur dixit: "Et puer octo dierum circumcidetur omne
13 masculinum" ?...Quid est, "Eritque testamentum (vel
pactum) meum in carne vestra" ?...Quare de infante
14 decidit sententiam mortis, dicens: "Masculus non circum-
cisus, qui non circumciderit (Gr. non circumcidetur)
carnem praeputii sui octavo die, corrumpetur anima illa
15 de genere suo" ?...Cur dicit: "Sara uxor tua non vocabitur
Sara, sed Sarra erit nomen ejus" ? (*Quaestt. et Sol. in
Gen., Sermo* iii. §§ 44—53, A. ii. 215—228).]

*Καὶ εἶπεν ὁ θεὸς τῷ Ἀβραάμ· Σάρα ἡ γυνή σου οὐ
κληθήσεται Σάρα, ἀλλὰ Σάῤῥα αὐτῆς ἔσται τὸ ὄνομα.*
16 *Εὐλογήσω αὐτήν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον* (*Leg.
Allegor.* iii. § 77, i. 130).

Καλέσας γὰρ τὴν μητέρα αὐτοῦ Σάῤῥαν ἀντὶ Σάρας, φησὶ τῷ Ἀβραάμ· Δώσω σοι τέκνον (*De Mutat. Nomin.* § 23, i. 598).

Εὐλογήσω δέ, φησίν, αὐτήν, καὶ ἔσται εἰς ἔθνη (*ibid.* § 27, i. 600).

---

15. *κληθήσεται*, LXX. + *τὸ ὄνομα αὐτῆς.*
ἀλλὰ Σάῤῥα, so LXX. Cod. A; om. *ἀλλὰ Vat. Rom.*
αὐτῆς ἔσται τὸ ὄνομα, LXX. *ἔσται τὸ ὄνομα αὐτῆς.*
16. *εὐλογήσω* (1°) (*Leg. Allegor.* iii. § 77), LXX. + *δὲ.*
εὐλογήσω (2°) *αὐτὴν* (*De Mutat. Nomin.* § 27), *ἐξ αὐτῆς* (*ibid.* § 28), following the Hebrew ברכתיה and ממנה. LXX. Cod. A *εὐλογήσω αὐτὸν* (*αὐτὸ Vat. Rom.*), and *ἐξ αὐτοῦ*. So *Quaestt.* "illum"..."ex eo."

Λέγεται δὲ ἑξῆς, ὅτι καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτῆς ἔσονται (*ibid.* § 28, i. 601).

[Quare dicit: "Ex ea dabo tibi pueros et benedicam illum, eritque in gentes, et reges gentium ex eo erunt"? ...Vix oportet quaerere, quod in plurali dixerit *pueros* unicum dilectumque filium eorum; intentio enim fertur in soboles ejus unde gentes regesque orientur (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 54, A. ii. 229).]

17 *Ὁ δὲ πρὸς ἔλεγχον ἡμῶν, οἳ καὶ ἐπὶ τοῖς μικροτάτοις εἰώθαμεν ὑψαυχενεῖν, πίπτει, καὶ εὐθὺς γελᾷ τὸν ψυχῆς γέλωτα* (*De Mutat. Nomin.* § 29, i. 602).

Πεσὼν οὖν ἐγέλασεν, οὐκ ἀπὸ θεοῦ πεσών, ἀλλ' ἀφ' ἑαυτοῦ· ἔστη μὲν γὰρ περὶ τὸν ἄτρεπτον, ἔπεσε δὲ ἀπὸ τῆς ἰδίας οἰήσεως...γελάσας εὐθὺς εἶπε τῇ διανοίᾳ· Εἰ τῷ ἑκατονταετεῖ γενήσεται, καὶ ἡ Σάῤῥα ἐννενήκοντα ἐτῶν οὖσα τέξεται; (*ibid.* § 33, i. 605).

[Quare Abraham procidit super faciem suam, et risit? ...Quare quasi haesitare visus est de promissione? ait enim, "Dixit in mente: Si centenario filius erit, et Sarra nonagenaria pariet"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. §§ 55, 56, A. ii. 229, 230).]

Εἰ τῷ ἑκατονταετεῖ γενήσεται [*υἱός*], *καὶ Σάῤῥα ἐννενήκοντα ἐτῶν οὖσα τέξεται; Καταφάσκει καὶ ἐπινεύει λέγων·*
19 *Ναί, ἰδοὺ Σάῤῥα ἡ γυνή σου τέξεταί σοι υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ, καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον* (*Leg. Allegor.* iii. § 28, i. 104).

---

17. *τῇ διανοίᾳ* (*De Mutat. Nomin.* § 33); LXX. pr. *ἐν*.
γενήσεται. LXX. + *υἱός.*
καὶ ἡ Σάῤῥα...τέξεται, et Sara...pariet; LXX. Cod. A *καὶ εἰ Σάῤῥα ...γενήσεται*; *Vat. Rom.* *καὶ εἰ ἡ Σάῤῥα...τέξεται.*

18 Ἰσμαὴλ οὗτος ζήτω ἐνώπιόν σου (*De Mutat. Nomin.* § 37, cf. 38—39, i. 609).

[Cur dixit Abraham ad deum: "Ismael hic vivat coram te"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. § 57, A. ii. 233).]

19 Εἶπε γάρ, φησί, τῷ Ἀβραάμ· Ναί, ἰδοὺ Σάῤῥα ἡ γυνή σου τέξεται υἱόν (*De Mutat. Nomin.* § 44, i. 617).

Καὶ καλέσεις τὸ ὄνομα τοῦ υἱοῦ τὸ πάθος ὅπερ ἂν ἐπ' αὐτῷ πάθῃς· πείσῃ δὲ πάντως χαράν, ὥστε καὶ τὸ σύμβολον αὐτῆς ὄνομα θήσεις γέλωτα (*ibid.* § 45, i. 618).

[Quare oraculum divinum ad modum annuendi "dicit ad Abraham: Etiam, ecce Sarra uxor tua pariet tibi filium"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. § 58, A. ii. 233).]

20 Εὐλόγηκα αὐτόν, αὐξήσω αὐτόν, πληθυνῶ· δώδεκα ἔθνη γεννήσει, τὸν κύκλον καὶ τὸν χορὸν ἅπαντα τῶν σοφιστικῶν προπαιδευμάτων (*De Mutat. Nomin.* § 45, i. 618).

[Quare dicit: "Verum et de Ismael ecce exaudiam te et benedicam ei; duodecim gentes generabit"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iii. § 59, A. ii. 234).]

21 Τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαάκ...Εἰς δὲ τὸν καιρὸν τοῦτον τέξεταί σοι, φησίν, ἡ σοφία χαράν...Ἐπιτείνων δὲ τὸ κάλλος τοῦ γεννωμένου φησὶν αὐτὸ ἐν τῷ ἐνιαυτῷ τῷ ἑτέρῳ γεννηθήσεσθαι· ἐνιαυτὸν ἕτερον, οὐ τοῦ χρόνου μηνύων διάστημα (*De Mutat. Nomin.* §§ 44—47, i. 618, 619).

[Quare dicit: "Testamentum vero meum statuam ad

---

18. ἐνώπιον (*De Mutat. Nomin.* § 37), LXX. ἐναντίον.

19. τέξεται (*ibid.* § 44), LXX. + σοι, as *Leg. Allegor.* iii. § 28 and *Quaestt.*

20. εὐλόγηκα (*ibid.* § 45), so LXX. *Vat. Rom.*; εὐλόγησα Cod. A. αὐξήσω (*ibid.*) so Chrys. *Homil. in Gen.* xl. § 2; LXX. αὐξανῶ.

Isaac, quem pariet Sarra in tempore hoc in anno altero"? (*Quaestt. et Sol. in Gen., Sermo* iii. § 60, A. ii. 234).]

22 Τὸ δέ, "Συνετέλεσε λαλῶν πρὸς αὐτόν·" ἴσον ἐστὶ τῷ· τὸν ἀκροατὴν αὐτὸν ἐτελείωσε, κενὸν ὄντα σοφίας πρότερον, καὶ ἀθανάτων λόγων ἐπλήρωσεν. Ἐπεὶ δὲ τέλειος ὁ μαθητὴς ἐγένετο, ἀνέβη κύριος ἀπὸ Ἀβραάμ· δηλῶν, οὐχ ὅτι διεζεύχθη—φύσει γὰρ θεοῦ ὀπαδὸς ὁ σοφός—ἀλλὰ τὸ ἑκούσιον τοῦ μαθητοῦ βουλόμενος παραστῆσαι, ἵνα, ὥσπερ ἔμαθε, μηκέτι ἐφεστῶτος τοῦ διδάσκοντος, χωρὶς ἀνάγκης, αὐτὸς ἐπιδεικνύμενος, ἐθελουργῷ καὶ αὐτοκελευστῷ προθυμίᾳ χρώμενος, ἐνεργῇ δι' ἑαυτοῦ (*De Mutat. Nom.* § 48, i. 619).

24 [Quare dicit, quod "Abraham erat nonaginta et novem annorum, quum circumcisus est: Ismael autem filius ejus
27 annorum tredecim"?...Quare alienigenas etiam circumcidit Abraham? (*Quaestt. et Sol. in Gen., Sermo* iii. §§ 61, 62, A. ii. 235, 236).]

xviii. Cf. *De Abrah.* § 22, ii. 16.

1 [Quare dicit: "Apparuit autem dominus deus Abrahae in quercu Mambre, quum ille sederet die fervente ad
2 ostium tabernaculi sui; et elevavit oculos suos"?...Quid est, "Vidit, et ecce viri tres stabant super eum"?...Quare dicit, "Videns procurrit obviam illis, et adoravit in
3 terram"?...Quid est, "Domine, si inveni gratiam ante te, ne praetereas servum tuum"? (*Quaestt. et Sol. in Gen., Sermo* iv. §§ 1—4, A. ii. 237—246).]

Ἡνίκα μὲν γὰρ ὁ σοφὸς ἱκετεύει τοὺς ἐοικότας ὁδοιπόροις τρισὶ ξενισθῆναι παρ' αὐτῷ, διαλέγεται τού-

---

22. ἀνέβη κύριος (*ibid.* § 48); LXX. ὁ θεὸς, as the Hebr.
xviii. 1. dominus deus (*Quaestt.*); LXX. ὁ θεός.

τοις, οὐχ ὡς τρισίν, ἀλλ' ὡς ἑνί, καί φησι· Κύριε, εἰ εὗρον χάριν παρά σοι, μὴ παρέλθῃς τὸν παῖδά σου (*De Abrah.* § 25, ii. 20).

4 [Cur iterum pluraliter dicit, quod "Sumatur aqua et lavent pedes vestros, et frigus captate sub arbore densa"? ...Cur dixerit hoc modo: Sumam panem, et manducate; non vero, Sumite?...Cur dicat "Sic fac, sicut dixisti"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iv. §§ 5, 6, 7, A. ii. 247—249).]

6 *Καὶ γὰρ Ἀβραὰμ μετὰ σπουδῆς καὶ τάχους καὶ προθυμίας πάσης ἐλθὼν παρακελεύεται τῇ ἀρετῇ, Σάῤῥᾳ, σπεῦσαι καὶ φυρᾶσαι τρία μέτρα σεμιδάλεως, καὶ ποιῆσαι ἐγκρυφίας* (*De ss. Abelis et Caini*, § 15, i. 173).

[Quare omnes festinant? ait enim: Festinavit Abraham in tabernaculum ad Sarram, et dixit ei: Festina, et commisce tres mensuras similae, et fac subcinericium.
7 Et ad armentum cucurrit, et sumpsit vitulum tenerum, deditque puero, et properavit facere illud...Quare dicit:
8 "Posuit coram eis, et manducaverunt"?...Cur dicitur: "Ipse autem stabat coram eis sub arbore"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iv. §§ 9, 10, A. ii. 249—253).]

9 *Ἐπεὶ καὶ τὸν σοφὸν ὁπότε ἀνερωτᾷ Ποῦ ἐστί σοι ἡ ἀρετή;—τὸν Ἀβραὰμ λέγω περὶ Σάῤῥας—οὐκ ἀγνοῶν ἐρωτᾷ...Φησὶ γοῦν, ὅτε εἶπεν, Ἰδοὺ ἐν τῇ σκηνῇ, τουτέστι, τῇ ψυχῇ* (*Quod det. potiori insid.* § 17, i. 203).

[Quare iterum singulariter dicit: "Ubi est Sarra uxor

3. *εἰ...παρά σοι* (*De Abrah.* § 25), LXX. *εἰ ἄρα...ἐναντίον σου.* *παῖδα* (*ibid.*), so LXX. Cod. A, *Vat. Rom.*, Chrys. (*Homil. in Gen.* xli.); *δοῦλον* Cod. *D*, Procop. Gaz.

7. sumpsit (*Quaestt.*), so LXX. Cod D^{sil}, *Vat. Rom.*, Chrys., *ἔλαβεν*; Cod. A *ἔλαβον*.

9. LXX. *ποῦ Σάῤῥα ἡ γυνή σου.*

tua? et ille respondit: In tabernaculo"? (*Quaestt. et Sol. in Gen., Sermo* iv. § 11, A. ii. 253).]

10 *Ἐπαναστρέφων ἥξω πρός σε κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάῤῥα ἡ γυνή σου* (*De Migrat. Abr.* § 22, i. 456).

Ἐπανιὼν ἥξω πρός σε κατὰ τὸν καιρὸν τοῦτον εἰς νέωτα, καὶ ἕξει υἱὸν Σαῤῥα ἡ γυνή σου (*De Abrah.* § 25, ii. 20).

[Cur dicit in singulari: "Revertens veniam ad te tempore hoc, ista hora; et fiat filius Sarrae uxori tuae"?... Quare dicit: "Et Sarra audivit, quoniam ad ostium tabernaculi erat post eum"? (*Quaestt. et Sol. in Gen., Sermo* iv. §§ 12, 13, A. ii. 254, 255).]

11 *Ἐξέλιπε Σάῤῥᾳ γίνεσθαι τὰ γυναικεῖα, καὶ ἐγέλασε*
12 *τῇ διανοίᾳ, καὶ εἶπεν· Οὔπω μοι γέγονε τὸ εὐδαιμονεῖν ἕως τοῦ νῦν· ὁ δὲ κύριός μου, θεῖος λόγος, πρεσβύτερός ἐστιν* (*Leg. Allegor.* iii. § 77, i. 130).

Σάῤῥᾳ γοῦν οὐ διαλέξεται, πρὶν ἐκλιπεῖν ἐκείνην τὰ γυναικεῖα πάντα, καὶ ἀναδραμεῖν εἰς ἁγνευούσης παρθένου τάξιν (*De Cherub.* § 14, i. 148).

---

10. Ἐπαναστρέφων...εἰς ὥρας (*De Migrat. Abrah.* § 22), so LXX. Ἐπανιὼν...εἰς νέωτα (*De Abrah.* § 25) is probably only a paraphrase.

11. Ἐξέλιπε, Philo has the aorist three times, so LXX. *Vat. Rom.*; but ἐξέλειπεν LXX. Codd. AD.

Philo reads γυναικεῖα, so LXX. *Vat. Rom.*, Chrys. *Homil. in Gen.* xli. § 6; γυναίκια Codd. AD.

τῇ διανοίᾳ, καὶ εἶπεν (*Leg. Allegor.* iii. § 77); ἐν ἑαυτῇ λέγουσα (*De Mutat. Nomin.* § 31, as LXX.).

12. τὸ εὐδαιμονεῖν ἕως τοῦ νῦν (*Leg. Allegor.* iii. § 77); LXX. om. τὸ εὐδαιμονεῖν, as *De Mutat. Nomin.* § 31. But τὸ εὐδαιμονεῖν renders the Hebrew עדנה, which the LXX. fails to translate, unless we are to suppose that it was regarded as an adverb of time = ἕως τοῦ νῦν. If so, τὸ εὐδαιμονεῖν ἕως τοῦ νῦν is a conflation of two renderings.

Καθὼς καὶ Σάῤῥᾳ ἔτι γίγνεσθαι τὰ γυναικεῖα ἐξέλιπε (*Quod det. potiori insid.* § 9, i. 196).

Ἐξέλιπε γὰρ γίνεσθαι τὰ γυναικεῖα ὁπότε ἄρχεται τὸ εὔδαιμον γένος κυοφορεῖν, Ἰσαάκ (*De posterit. Caini*, § 40, i. 251).

Αὕτη γὰρ εἰσάγεται διὰ τῶν χρησμῶν τὰ γυναικεῖα πάντ' ἐκλιποῦσα (*De Ebrietat.* § 14, i. 365).

Διὸ πάνυ καλῶς ἡ ἀρετὴ Σάῤῥα τὰ γυναικεῖα ἐκλείπει (*De Profug.* § 23, i. 565, cf. § 30, i. 571; *De Somn.* ii. § 28, i. 683).

[Quare dicit: "Abraham et Sarra seniores erant provectae aetatis, transactis diebus plenis"?...Quid est, "Defecerant Sarrae fieri muliebria"? (*Quaestt. et Sol. in Gen., Sermo* iv. §§ 14, 15, A. ii. 255, 256).]

Ἐγέλασε δὲ Σάῤῥα ἐν ἑαυτῇ λέγουσα, Οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν (*De Mut. Nomin.* § 31, i. 603).

[Quid est: "Risit autem Sarra in semet ipsa, dicens:
Necdum mihi aliquid factum est usque nunc; dominus
13 autem meus senex est"?...Cur quasi increpatur Sarra,
quum Abraham risit, et non est correptus? Dicit enim:
Et dixit dominus ad Abraham: Quid est, quod risit
Sarra, dicens; "Num utique vere pariam, ego autem
14 senui? Numquid deo difficile erit verbum?"...Quid est
"In tempore hoc revertar ad te in horas (*εἰς ὥρας*), et
15 erit filius Sarrae"?...Cur negavit Sarra dicens: Non
risi; timuit enim. Ille autem dixit: Non, sed risisti?
(*Quaestt. et Sol. in Gen., Sermo* iv. §§ 16—19, A. ii. 257—259).]

Ταύτης ἕνεκα τῆς αἰτίας δοκεῖ μοι καὶ πρότερον γελάσασα ἀρετῆς ἡ ἐπώνυμος, Σάῤῥα, πρὸς τὸν πυνθανόμενον

ἀρνήσασθαι τὸν γέλωτα· καταδείσασα μήποτε ἄρα τὸ χαίρειν οὐδενὸς ὂν γεννητοῦ, μόνου δὲ τοῦ Θεοῦ σφετερίζῃ. Διόπερ θαρσύνων αὐτὴν ὁ ἱερὸς λόγος φησί· Μηδὲν εὐλαβηθῇς, ὄντως ἐγέλασας, καὶ μέτεστί σοι χαρᾶς (*De Abrah.* § 36, ii. 30).

Ἀκούσασαν γοῦν ἐν ἀρχῇ τὴν γυναῖκα φασὶ γελάσαι· καὶ μετὰ ταῦτα εἰπόντων, Μὴ ἀδυνατεῖ παρὰ τῷ θεῷ ῥῆμα; καταιδεσθεῖσαν ἀρνήσασθαι τὸν γέλωτα (*ib.* § 22, ii. 17).

16 *Ἀβραὰμ συνεπορεύετο συμπροπέμπων αὐτούς* (*De Migrat. Abrah.* § 31, i. 463).

[Quare Abraham una cum eis gradiebatur, comitans eos? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iv. § 20, A. ii. 260).]

17 *Μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ;* (*Leg. Allegor.* iii. § 8, i. 93).

Φίλον γὰρ τὸ σοφὸν Θεῷ μᾶλλον ἢ δοῦλον. Παρ' ὃ καὶ σαφῶς ἐπὶ Ἀβραὰμ φάσκει· Μὴ ἐπικαλύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ φίλου μου; (*De Sobriet.* § 11, i. 401).

---

14. *ἀδυνατεῖ* (*De Abrah.* § 22), so LXX. Codd. A*D*, Chrys.: *ἀδυνατήσει* LXX. *Vat. Rom.*

16. LXX. *συνεπορεύετο μετ' αὐτῶν.* Philo omits *μετ' αὐτῶν* in *De Migrat. Abrah.* § 31.

17. *μὴ κρύψω* (*Leg. Allegor.* iii. § 8), so LXX. Codd. AD; *οὐ μὴ κρύψω* LXX. *Vat. Rom.*, Chrys., is evidently a later reading. *μὴ ἐπικαλύψω* (*De Sobriet.* § 11) is very probably an original rendering, and not a mere paraphrase; *μὴ ἐπικαλύψω* is closer in meaning to המכסה than *μὴ κρύψω*. Procopius Gaz. *Comm. in Gen.* p. 135 *μὴ κρύψω ἐγώ.*

ἀπὸ Ἀβρ. τοῦ φίλου μου (*De Sobriet.* § 11); LXX. *τοῦ παιδός μου* as *Leg. Allegor.* iii. § 8.

Philo's variation of *φίλος* for *παῖς* is of especial interest. He lays

[Quare dicit: "Non abscondam ab Abraham servo
19 meo, quod ego operor"?...Cur dicit: "Sciebam, quia
praecipiet filiis suis et domui suae post se, et custodient
vias domini, ut faciant justitiam et judicium; ut adducat
dominus super Abraham omnia, quae locutus est ad
20 illum"?...Quid est: "Dixit autem dominus, Clamor Sodo-
morum et Gomorrhaeorum multiplicatus est, et peccata
eorum magna valde"?...Cur velut homo loquitur, dicens:
21 "Descendens ergo videbo, si secundum clamorem eorum
qui venit ad me operantur, sin autem non, ut sciam"?
(*Quaestt. et Sol. in Gen., Sermo* iv. §§ 21—24, A. ii. 261—263).]

---

stress on the use of the word φίλος, as emphasizing the truth that wisdom, represented in Abraham, is the friend and not the slave of God.

It should be noted that φίλος is not found applied to Abraham in the LXX. in 2 Chron. xx. 7, Isai. xli. 8, where Abraham is called 'the friend' of God. But it is applied to him in James ii. 23 (see Mayor's note) φίλος θεοῦ ἐκλήθη; *Ep. Clem. ad Cor.* X. Ἀ. ὁ φίλος προσαγορευθείς, XVII. φίλος προσηγορεύθη τοῦ θεοῦ; Iren. iv. 16. 2 A....et amicus Dei vocatus est; Clem. Alex. *Paedag.* iii. 2. 12 φίλον αὐτὸν ὠνόμαζεν.

It is not enough to say that Philo's use of φίλος reflects the proverbial application of the title to Abraham. This proverbial application must have had an origin. Its origin was certainly not in the LXX.; and yet the language of St James and of Clement suggests that Abraham was somewhere called φίλος in the Greek O. T.

It is possible that Philo's use of the word in this passage may be the survival of an early rendering, τοῦ φίλου μου; but that this was altered, lest it should sound too familiar, into τοῦ παιδός μου. The influence of the early rendering may have continued long after the Greek Scriptures had attained a homogeneous character.

22 *Ἔτι γάρ, φησίν, ἦν ἑστηκὼς ἐναντίον κυρίου.* *Καὶ τεκμήριον τῆς οἰκειώσεως τὸ ἐπιλεγόμενον, ὅτι ἐγγίσας εἶπεν* (*De Cherub.* § 6, i. 142).

Ἀβραὰμ δὲ ὁ σοφὸς ἐπειδὴ ἕστηκε συνεγγίσας τῷ ἑστῶτι Θεῷ· λέγει γάρ, ὅτι ἑστὼς ἦν ἐναντίον κυρίου, καὶ ἐγγίσας εἶπεν (*De posterit. Caini,* § 9, i. 231).

Οὐχ ὁρᾷς, οἷα περὶ Ἀβραὰμ λέγεται τοῦ σοφοῦ, ὅς ἐστιν ἑστὼς ἐνώπιον κυρίου; (*De Somn.* ii. § 33, i. 688).

[Cur iterum singulariter dicit: "Abraham autem
23 adhuc stabat coram domino"?...Quid est, "Et appropinquans Abraham dixit: Numquid perdas justum cum iniquo? et erit justus sicut iniquus"? (*Quaestt. et Sol. in Gen., Sermo* iv. 25, 26, A. ii. 264, 265).]

Οὐχ ὁρᾷς ὅτι Ἀβραὰμ ἔτι ἦν ἑστηκὼς ἐν τόπῳ κυρίου; καὶ ἐγγίσας εἶπε· Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς; (*Leg. Allegor.* iii. § 3, i. 89; cf. *De Migrat. Abrah.* § 24, i. 456).

24—32 [Quare ex quinquaginta inchoans in decem determinat? Cur autem sub principio quina bis aufert usque ad quadraginta, post vero decem decem usque ad finem, sive decimum? Dicit enim "Si fuerint quinquaginta justi in civitate, perdes illos? nonne dimittes locum illum?" et, "Quid si quadraginta et quinque fuerint?" et, "Si vero quadraginta?" et, "Quid, si triginta? Quid vero,

---

22. *ἐναντίον* (*De Cherub.* § 6, *De Posterit. Caini,* § 9) as LXX.; *ἐνώπιον* (*De Somn.* ii. § 33). Procop. Gaz. *ἔναντι.*

23. For *ἐν τόπῳ κυρίου* (*Leg. Allegor.* iii. § 3), cf. Ex. xxiv. 11 *καὶ ὤφθησαν ἐν τῷ τόπῳ τοῦ θεοῦ.*

si viginti?" et, "Quid si decem?" (*Quaestt. et Sol. in Gen.*, *Sermo* iv. § 27, A. ii. 266).]

27 Καὶ γὰρ Ἀβραὰμ ἔγγιστα τῷ Θεῷ ἑαυτὸν ποιήσας, εὐθὺς ἔγνω γῆν καὶ τέφραν ὄντα (*Quod deus immutab.* § 34, i. 296).

Καὶ τοῦτό μου τὸ πάθος τῆς ψυχῆς ἐστηλογράφησεν ἐν τῷ ἐμῷ μνήμονι ἐπίσκοπος Ἀβραάμ· Ἐγγίσας γάρ, φησίν, Ἀβραὰμ εἶπε· Νῦν ἠρξάμην λαλεῖν πρὸς κύριον, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός (*Quis rerum div. heres*, § 7, i. 477).

[Quare dixit: "Nunc coepi loqui ad dominum, ego autem sum terra et cinis"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iv. § 28, A. ii. 267).]

32 Ἄρχεται μὲν οὖν τῆς ἱκεσίας ἀπὸ τοῦ τῆς ἀφέσεως ἀριθμοῦ πεντηκοντάδος, λήγει δὲ εἰς δεκάδα, τὴν τελευταίαν ἀπολύτρωσιν (*De Congr. Erud. grat.* § 19, i. 535).

Οὐ διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ ἐπὶ τῆς Σοδομιτῶν ἀπωλείας, ἀρξάμενος ἀπὸ πεντηκοντάδος εἰς πεντάδα τελευτᾷ; (*De Mutat. Nomin.* § 40, i. 613).

33 Ἀπῆλθεν ὁ κύριος ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ, καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ (*De Somn.* i. § 12, i. 631).

[Quid est, "Abiit dominus, postquam cessavit loqui cum Abraham; et Abraham reversus est in locum

---

27. Observe γῆν καὶ τέφραν (*Quod deus immutab.*) as a variation giving the idea but not the exact words of the LXX. γῆ καὶ σποδός. See this verse quoted *Ep. Clem. ad Cor.* xvii. 2.

Ἐγγίσας (*Quis rerum div. heres*, § 7); Philo, condensing the narrative, borrows this from ver. 23.

πρὸς κύριον (*ibid.*), LXX. πρὸς τὸν κύριον.

32. πεντάδα (*De Mutat. Nomin.* § 40), an error for δεκάδα.

suum"? (*Quaestt. et Sol in Gen.*, *Sermo* iv. § 29, A. ii. 268).]

xix. 1 [Quare, tribus apparentibus, dixerit: "Venerunt duo
angeli in Sodoma vesperi"?...Cur Lot sedebat in foribus
Sodomorum?...Quid est, "Videns exsurrexit, et cucurrit
obviam illis, et adoravit in facie (s. faciem)"?...Quare
2 invitati ab hospitali recusant, dicentes: "Non, sed in
3 platea divertemus"?...Quid est, "Coegit illos et declina-
verunt ad eum"?...Cur unus iste fecit eis potum et
azymum? Abraham vero subcineritia, non potum?...
4 Cur Sodomitae circumdant domum ab adolescente usque
ad seniorem, totus populus simul? (*Quaestt. et Sol. in
Gen.*, *Sermo* iv. §§ 30—36, A. ii. 269—272).]

Οὐ γὰρ οἱ μέν, οἱ δὲ οὔ, πᾶς δὲ ὥς φησιν ὁ λαὸς περιεκύκλωσαν ἅμα τὴν οἰκίαν, νέοι τε καὶ πρεσβῦται (*De Confus. Ling.* § 8, i. 409).

5 [Quid est, "Educ illos ad nos, ut cognoscamus eos"?...
7 Quare dicit eis Lot: "Non ita fratres, nolite male facere.
8 Sunt enim mihi duae filiae, quae non noverunt virum;
educam eas ad vos, et utimini illis, quomodo placuerit
vobis; tantummodo in viros istos ne faciatis injustum, eo
quod ingressi sunt sub tegmen trabium mearum"?...
9 Quid est, Dixerunt: "Recede illuc! Intrasti habitare ut
incola, numquid etiam ut judicium judices"?...Quid est,
10 "Extendentes viri manus attraxerunt Lot ad se ipsos in
domum, et ostium domus clauserunt, viros autem qui
11 erant ad ostium, percusserunt coecitate"?...Quid est, "Et
dissoluti sunt quaerentes ostium"? (*Quaestt. et Sol. in
Gen.*, *Sermo* iv. §§ 37—41, A. ii. 273—276).]

Ἦ *οὐχ ὁρᾷς τοὺς ἐστειρωμένους σοφίαν καὶ τυφλοὺς*

διάνοιαν, ἣν ὀξυδερκεῖν εἶκος ἦν, Σοδομίτας κατὰ γλῶτταν, ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, πανθ' ὁμοῦ τὸν λεὼν ἐν κύκλῳ, τὴν οἰκίαν τῆς ψυχῆς περιθέοντας; * * * * *Οὐδ' οἱ τυφλοὶ διάνοιαν Σοδομῖται, σπουδάσαντες ἐκθύμως αἰσχῦναι τοὺς ἱεροὺς καὶ ἀμιάντους λόγους, εὗρον τὴν εἰς τοῦτ' ἄγουσαν ὁδόν, ἀλλ', ὥς φησι τὸ λόγιον, παρελύθησαν ζητοῦντες τὴν θύραν* (*De Profug.* § 26, i. 567).

12 [Quid est, "Dixerunt viri ad Lot, ut educeret de urbe
13 totam familiam: Perdituri enim sumus, inquiunt, locum
hunc, quoniam exaltatus est clamor eorum contra dominum, et misit nos ad delendum"?...Quare dicit, nunci-
14 ante Lot, ut monitum habuerat ab angelis, visum esse
16 generis suis ludere?...Quare angeli, conturbatis illis, tenuerunt manum Lot et uxoris et duarum filiarum ejus?...
17 Quare, qui eduxerunt angeli, dixerint: "Salva animam tuam; ne respexeris retrorsum, nec steteris in cunctis iis finibus"?...Quid est, "In montem salvare, ne forte simul
19 cum illis (s. in illis) comprehendaris"?...Quid est, quod dicit Lot: "Ego non potero salvari in montem, ne forte comprehendant me mala, et moriar. Ecce haec civitas prope est, ad fugiendum in eam, quae est parva; et non est parva, sed salvabor, et vivet anima mea"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iv. §§ 42—47, A. ii. 277—282).]

20 *Διὸ παγκάλως μικράν τε καὶ οὐ μακρὰν τὴν πόλιν ταύτην οἱ χρησμοὶ διασυνιστᾶσιν, αἰνιττόμενοι τὴν ὅρασιν* (*De Abrah.* § 31, ii. 25).

---

xix. 11. *παρελύθησαν* (*De Profug.* § 26). "Ita pro *παρεληλύθεισαν* MSS. Coll. Nov. et Trin. quibuscum etiam congruit Textus Bibliorum, Gen. xix. 17. Hesych. v. *παρελύθησαν ἠσθένησαν*" (Mangey).

21 [Quid est, "Ecce admiratus sum faciem tuam etiam in
22 verbo hoc"?...Quid est, "Festina salvari (illuc)"?...Quid
est, "Propterea vocavit nomen civitatis illius Zoor"?
(*Quaestt. et Sol. in Gen., Sermo* iv. §§ 48, 49, A. ii. 283,
284).]

23 Ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς
24 Σηγώρ. Καὶ κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα
θεῖον καὶ πῦρ (*De Somn.* i. § 15, i. 633).

[Quare dicitur: "Sol egressus est in terram, et Lot ingressus est in Zoor (Segor). Et dominus pluit in Sodomam et Gomorrham sulphur et ignem de coelo"? (*Quaestt. et Sol. in Gen., Sermo* iv. § 51, A. ii. 284).]

26 Οὕτω φησὶ τὴν γυναῖκα Λὼτ στραφεῖσαν εἰς
τοὐπίσω γενέσθαι στήλην οὐ μυθοπλαστῶν, ἀλλὰ
πράγματος ἰδιότητα μηνύων (*De Profug.* § 22, i. 564).

[Cur respiciens uxor ejus retrorsum, effecta est statua salis, non autem alterius materiae? (*Quaestt. et Sol. in Gen., Sermo* iv. § 52, A. ii. 287).]

27 [Quare "Abraham mane praeveniens in locum, in quo
28 stabat coram domino, respexit in faciem Sodomorum et
Gomorrhaeorum et circa regiones eorum; et ecce ascendit
29 flamma terrae quasi flamma fornacis"?...Quare, cum
deleret circumhabitantes Sodomaeorum, recordatus est
deus Abrahae, et dimisit procul Lot e medio subversionis?
Quare "Lot timens habitare in Segor ascendit in montem,
31 et habitat in spelunca una cum duabus filiabus"?...Cur
dicit senior ad juniorem: "Pater noster senex est, et nemo
32 est qui intret ad nos, sicut convenit omni terrae. Veni

23. 'sulphur et ignem de coelo' (*Quaestt.*), LXX. θεῖον καὶ πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ.

huc et inebriemus patrem nostrum vino, et dormiamus cum eo et suscitemus de patre nostro semen"? (*Quaestt. et Sol. in Gen.*, *Sermo* iv. §§ 53—56, A. ii. 288—291)]; cf. *De Posterit. Caini*, § 50, i. 259.

13. *μακαριοῦσι* (*De Migrat. Abrah.* § 17), so LXX. *Vat. Rom.*; *μακαρίζουσι* LXX. Codd. ADE.

αἱ γυναῖκες (*ibid.*), so LXX. *Vat. Rom.*, Chrys.; pr. *πᾶσαι* Codd. ADE. The Hebrew is simply בָּנוֹת.

24 Καθ' ἃ καὶ Ῥαχὴλ πρότερον αἰτησαμένη τὸν νοῦν, ὡς αἴτιον τοῦ ποιεῖν ἔκγονα, καὶ ἀκούσασα, Μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι; προσέσχε τε τῷ λεχθέντι, καὶ μαθοῦσα παλινῳδίαν ἱερωτάτην ἐποίησε· γέγραπται γὰρ Ῥαχὴλ παλινῳδία, θεοφιλὴς εὐχή· προσθέτω μοι ὁ θεὸς υἱὸν ἕτερον... (*De Posterit. Caini*, § 52, i. 260).

30 Καὶ αὐτὸς δὲ ἐπειδὰν ἤδη τελειωθῇ, τὸν μὲν τῶν αἰσθήσεων οἶκον ἀπολείψει, τὸν δὲ τῆς ψυχῆς ὡς ψυχῆς ἱδρύεται, ὃν ἔτι ὢν ἐν τοῖς πόνοις καὶ ταῖς αἰσθήσεσιν ἀναζωγραφεῖ. λέγει γάρ· Πότε ποιήσω καὶ ἐγὼ ἐμαυτῷ οἶκον; (*De Migrat. Abrah.* § 38, i. 470).

36 Οἰκειότατον γοῦν ὁ ἀσκητὴς ὑπολαβὼν ἀρετῇ τὸ ἔργον, ὑπομένει ποιμαίνειν τὰ πρόβατα Λάβαν...καὶ οὐχ ἅπαντα, ἀλλὰ τὰ ὑπολειφθέντα...Τὰς μὲν οὖν ἀλόγους αὐτοῦ φοράς, λέγω δὲ τὰς παρὰ τὸν αἱροῦντα λόγον δυνάμεις, οἱ υἱοὶ Λάβαν τριῶν ἡμερῶν ὁδὸν ἀποστάντες τημελοῦσι...(*De ss. Abelis et Caini*, § 11, i. 170).

Διὰ τοῦτο καὶ τῷ τελειωθέντι ἐξ ἀσκήσεως Ἰακὼβ τὴν ποιμενικὴν ἐπιστήμην περιῆψε, ποιμαίνει γὰρ οὗτος τὰ πρόβατα Λάβαν, τῆς τοῦ ἄφρονος ψυχῆς, τῆς τὰ αἰσθητὰ μόνα καὶ φαινόμενα νομιζούσης ἀγαθά, χρώμασι καὶ σκιαῖς ἠπατημένης καὶ δεδουλωμένης—λευκασμὸς γὰρ ἑρμηνεύεται Λάβαν (*De Agricult.* § 10, i. 306).

37 Οὗτος γὰρ ῥάβδους ἐξελέπισε λεπίσματα λευκά, περισύρων τὸ χλωρόν (*De Plantat. Noe*, § 26, i. 345).

---

24. μοι ὁ θεὸς (*De Posterit. Caini*, § 52), LXX. ὁ θεός μοι. But the order of the words given by Philo is found in many cursives (H. and P.).

37. ἐξελέπισε (*De Plantat. Noe*, § 26), LXX. ἐλέπισεν.

42 Ἐγένετο γάρ, φησί, τὰ μὲν ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ (*Quis rerum div. heres*, § 37, i. 498).

xxxi. 3 Διὸ λόγιον ἐχρήσθη τοιόνδε, Ἀποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου, καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ (*De Migrat. Abrah.* § 6, i. 440).

4 Ἀποστείλας γὰρ Ἰακὼβ ἐκάλεσε Λείαν καὶ Ῥαχὴλ εἰς τὸ πεδίον, οὗ τὰ ποίμνια, παριστὰς ἐναργῶς, ὅτι φιλονεικίας σημεῖον τὸ πεδίον ἐστί. Καλεῖ δὲ αὐτάς·
5 Ὁρῶ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ἔφη, ὅτι οὐκ ἔστι πρὸς ἐμὲ ὡς χθὲς καὶ ὡς τρίτην ἡμέραν· ὁ δὲ θεὸς τοῦ πατρός μου ἦν μετ' ἐμοῦ. Διὰ τοῦτο γὰρ εἴποιμ' ἄν, ὁ Λάβαν οὐκ ἔστι πρὸς σοῦ, ὅτι μετὰ σοῦ ὁ θεός (*Quod det. potiori insid.* § 2, i. 191, 192).

10 Ἡνίκα ἐνεκίσσων τὰ πρόβατα, εἶδον τοῖς ὀφθαλμοῖς αὐτὰ ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀνέβαινον ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας, διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί (*De Somn.* ii. § 3, i. 662).

---

xxxi. 4. Λείαν καὶ Ῥαχὴλ (*Quod det. pot. insid.* § 2), so LXX. Cod. E, *Vat. Rom.*; Ῥαχὴλ καὶ Λείαν Cod. A, Chrys., as Hebr.

5. Ὁρῶ (*ibid.*), LXX. + ἐγώ.

πρὸς ἐμὲ (*ibid.*), so LXX. Cod. E, Chrys.: πρὸς ἐμοῦ *Vat. Rom.* (cf. πρὸς σοῦ, *ut supr.*): Cod. A μετ' ἐμοῦ.

χθὲς (*ibid.*), so Chrys.; LXX. ἐχθὲς.

καὶ ὡς τρίτην (*ibid.*); LXX. om. ὡς.

10. τὰ πρόβατα (*De Somn.* ii. § 3), so LXX. Cod. A: Cod. E, *Vat. Rom.* + ἐν γαστρὶ λαμβάνοντα.

εἶδον (*ibid.*), so LXX. *Vat. Rom.*; Codd. AE ἴδον.

τοῖς ὀφθαλμοῖς (*ibid.*), so LXX. Cod. E, *Vat. Rom.* (+ μου), Chrys.: Cod. A pr. ἐν.

αὐτὰ (*ibid.*); LXX. om.

ἀνέβαινον (*ibid.*); LXX. Codd. AE ἀναβαίνοντες ἦσαν; *Vat. Rom.* ἀναβαίνοντες.

11 Εἶπέ μοι ὁ ἄγγελος τοῦ θεοῦ καθ' ὕπνον· Ἰακώβ!
12 Ἐγὼ δὲ εἶπα· Τί ἐστι; Καὶ εἶπέ μοι· Ἀνάβλεψον τοῖς
ὀφθαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς
ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα, καὶ τὰς αἶγας διαλεύκους
καὶ ποικίλους καὶ σποδοειδεῖς ῥαντούς· ἑώρακα γὰρ ὅσα
13 σοὶ Λάβαν ποιεῖ. Ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ
θεοῦ, οὗ ἤλειψας μοι τὴν στήλην, καὶ ηὔξω μοι εὐχήν.
Νῦν οὖν ἀνάστηθι καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης, καὶ
ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ
(*De Somn.* i. § 33, i. 649).

Διὸ καὶ αὐτός φησιν· Ἐγώ εἰμι ὁ θεός, οὗ τὴν εἰκόνα ὡς ἐμὲ πρότερον ἐθεάσω καὶ στήλην ἐπίγραμμα ἐγκολάψας ἱερώτατον, ἀνέθηκας....Λέγεται γάρ· Ἤλειψάς μοι στήλην (*ibid.* i. §§ 41, 43, i. 656, 657).

14 Μὴ γάρ ἐστιν αὐταῖς ἔτι μερὶς ἢ κληρονομία ἐν τῷ
15 σῷ οἴκῳ; Οὐχ ὡς ἀλλότριαι ἐλογίσθησαν παρὰ σοί; ἢ
οὐ πέπρακας αὐτάς, καὶ κατέφαγες τὸ ἀργύριον; (*Quis
rerum div. heres*, § 8, i. 479).

Μὴ ἔστιν ἡμῖν ἔτι μερὶς καὶ κληρονομία ἐν τῷ οἴκῳ
τοῦ πατρὸς ἡμῶν; Οὐχ ὡς ἀλλότριοι λελογίσμεθα αὐτῷ;
πέπρακε γὰρ ἡμᾶς, καὶ κατέφαγε καταβρώσει τὸ ἀργύριον
16 ἡμῶν. Πᾶς ὁ πλοῦτος καὶ ἡ δόξα, ἣν ἀφείλετο ὁ θεὸς τοῦ

---

11. Ἰακώβ (*De Somn.* i. § 33), so LXX. *Vat. Rom.*, Chrys.; Codd. AE Ἰακὼβ, Ἰακώβ. Jacob's name is only called once in the Hebr.

12. Καὶ εἶπέ μοι (*ibid.*); LXX. καὶ εἶπε, as Hebr.

13. ἐν τόπῳ θεοῦ (*ibid.*), so LXX. Cod. D^{sil}E, *Vat. Rom.*, Chrys.; Cod. A ἐν τῷ τόπῳ.

ἔξελθε, so LXX. Codd. D^{sil}E; ἄπελθε Cod. A, *Vat. Rom.*

15. ὡς ἀλλότριοι (*De Profug.* § 3), ἀλλότριαι (*Quis rerum div. heres*, § 8); LXX. ὡς αἱ ἀλλότριαι.

16. Πᾶς ὁ πλοῦτος...ἔσται (*De Profug.* § 3); Philo gives grammatical smoothness to the LXX. πάντα τὸν πλοῦτον...ἡμῖν ἔσται.

πατρὸς ἡμῶν, ἡμῖν ἔσται καὶ τοῖς τέκνοις ἡμῶν (*De Profug.* § 3, i. 548).

Ὁ δὲ Ἰακώβ, πτερνιστὴς γάρ ἐστι, μεθόδοις καὶ τέχναις τὴν ἀρετὴν οὐκ ἀκονιτὶ κτώμενος—οὐ γὰρ μετωνόμαστό πω εἰς τὸν Ἰσραήλ—ἀποδιδράσκει τῶν κατὰ Λάβαν πραγμάτων, τουτέστι χρωμάτων καὶ σχημάτων, καὶ συνόλως σωμάτων, ἃ τὸν νοῦν διὰ τῶν αἰσθητῶν
20 τιτρώσκειν πέφυκεν....Καὶ ἔκρυψεν Ἰακὼβ Λάβαν τὸν
21 Σύρον τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ, ὅτι ἀποδιδράσκει. Καὶ ἀπέδρα αὐτὸς καὶ τὰ αὐτοῦ πάντα, καὶ διέβη τὸν ποταμόν, καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ (*Leg. Allegor.* iii. §§ 4, 5, i. 90; cf. *De Profug.* § 2, i. 547, reading ἀπαγγεῖλαι).

27 Εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε (*De Profug.* § 3, i. 549).

28 Λάβαν δὲ ὁ μισάρετος...οὐ γὰρ πρὸς ἀλήθειαν ἀλγῶν, φησίν· Οὐκ ἠξιώθην καταφιλεῖν τὰ παιδία μου καὶ τὰς θυγατέρας (*Quis rerum div. heres*, § 8, i. 479).

33 Λάβαν γοῦν ἀναζητήσας ὅλον τοῦ ἀσκητικοῦ τὸν ψυχικὸν οἶκον, οὐχ εὗρεν, ᾗ φησι Μωϋσῆς, τὰ εἴδωλα, πλήρης γὰρ πραγμάτων, οὐκ ὀνειράτων καὶ κενῶν φαντασμάτων ἦν (*De Profug.* § 26, i. 567).

---

20. ἔκρυψεν (*De Profug.* § 2), so LXX. Codd. AE, *Vat. Rom.*, Chrys.: Cod. *D* ἔκλεψεν.

ἀναγγεῖλαι (*Leg. Allegor.* iii. § 5), so LXX.; ἀπαγγεῖλαι (*De Profug.* § 2), so Cat. Niceph.

21. τὰ αὐτοῦ πάντα (*De Profug.* § 2), so LXX. Cod. E, *Vat. Rom.*; πάντα τὰ αὐτοῦ LXX. Codd. ADF.

28. καταφιλεῖν (*Quis rerum div. heres*, § 8), LXX. καταφιλῆσαι. θυγατέρας (*ibid.*), LXX. + μου.

35 Πάνυ δ' ἐκδήλως τὸ τὰ ἔθη γυναιξὶ μᾶλλον ἢ ἀνδράσιν ἐπιτηδεύεσθαι δοκεῖ μοι παρίστασθαι διὰ τῶν Ῥαχήλ, τῆς μόνα τὰ αἰσθητὰ θαυμαζούσης, λόγων. Φησὶ γὰρ πρὸς τὸν πατέρα ἑαυτῆς· Μὴ βαρέως φέρε, κύριε· οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὰ κατ' ἐθισμὸν τῶν γυναικῶν μοι ἐστίν (*De Ebriet.* § 14, i. 365).

43 Αἵ θυγατέρες μου καὶ υἱοί μου καὶ τὰ κτήνη μου καὶ πάνθ' ὅσα σὺ ὁρᾷς, ἐμά ἐστι καὶ τῶν θυγατέρων μου (*De Cherub.* § 21, i. 151).

53 Ἀναγέγραπταί τις ἐν τοῖς νόμοις τῶν ἀρχηγετῶν καὶ ἐπὶ σοφίᾳ μάλιστα θαυμασθέντων ὀμνὺς κατὰ τοῦ φόβου τοῦ πατρός (*De Spec. Legg.* § 1, ii. 271).

xxxii. 10 Ἐν γὰρ τῇ ῥάβδῳ μου διέβην τὸν Ἰορδάνην τοῦτον (*Leg. Allegor.* ii. § 22, i. 82).

25 Ἐνάρκησε γάρ, φησί, τὸ πλάτος τοῦ μηροῦ, ᾧ καὶ ἐπέσκαζεν (*De Mutat. Nomin.* § 35, i. 606; *De Somn.* i. § 21, i. 640).

28 ...ὑπήχησαν οἱ χρησμοί· Οὐ κληθήσεται τὸ ὄνομά σου Ἰακώβ, ἀλλὰ Ἰσραὴλ ἔσται σου ὄνομα, ὅτι ἴσχυσας

---

35. γυναικῶν (*De Ebriet.* § 14), so LXX. Cod. D, *Vat. Rom.*; γυναικίων Codd. AEF.

μοι (*ibid.*), so LXX. *Vat. Rom.*: μου Codd. AEF.

43. LXX. *Vat. Rom.* Αἱ θυγατέρες (+σου Cod. A) θυγατέρες μου, καὶ υἱοὶ (+σου Cod. A) υἱοί μου, καὶ τὰ κτήνη (+σου Cod. A) κτήνη (*om.* Cod. E) μου, καὶ πάντα ὅσα σὺ ὁρᾷς (+ολα Cod. E) ἐμά ἐστιν καὶ τῶν θυγατέρων μου (καὶ ταῖς θυγατέρες μου Cod. A).

xxxii. 28. κληθήσεται (*De Ebriet.* § 20), so LXX. Cod. E: Codd. AD, *Vat. Rom.* +ἔτι.

Ἰσραὴλ ἔσται σου ὄνομα (*ibid.*); LXX. Cod. A Ἰσραὴλ τὸ ὄνομά σου ἔσται; Cod. D Ἰσραὴλ [ἔσται τὸ ὄνομ]ά σου, *Vat. Rom.*, Chrys.; Cod. E Ἰσραὴλ ἔσται σου τὸ ὄνομα.

μετὰ θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατῶς (*De Ebriet.* § 20, i. 369; *De Mutat. Nomin.* § 5, i. 585).

29 Μετὰ *γοῦν τὴν πάλην, ἣν ὑπὲρ κτήσεως ἀρετῆς ὁ ἀσκητὴς ἐπάλαισε, φησὶ τῷ ἀοράτῳ ἐπιστάτῃ·* Ἀνά*γγειλόν μοι τὸ ὄνομά σου.* Ὁ *δὲ εἶπεν·* Ἵνα *τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου; καὶ οὐ μηνύει τὸ ἴδιον καὶ κύριον* (*De Mutat. Nomin.* § 2, i. 580).

31 Ἀ*νέτειλεν ὁ ἥλιος αὐτῷ, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ* (*De Somn.* i. § 14, i. 633).

xxxiii. 5 Τὰ *παιδία οἷς ἐλέησεν ὁ θεὸς τὸν δοῦλόν σου* (*Quis rerum div. heres*, § 7, i. 478).

11 ...Ἰ*ακώβ, ὃς ὡμολόγησεν ὃ ἔπαθεν, εἰπών, ὅτι ἠλέησέ με ὁ θεός, καί ἐστί μοι πάντα* (*De ss. Abelis et Caini*, § 9, i. 169).

xxxiv. 3 Φ*ασὶ γοῦν οἱ χρησμοί, ὅτι ἐλάλησε κατὰ τὴν διάνοιαν τῆς παρθένου, ταπεινώσας αὐτὴν πρότερον, ὁ* Σ*υχέμ* (*De Mutat. Nomin.* § 36, i. 607).

xxxv. 2—3 Θ*έασαι οὖν τὸν ἀσκητήν, οἷά φησιν·* Ἄ*ρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς μεθ' ὑμῶν ἐκ μέσου ὑμῶν,*

δυνατῶς (*De Ebriet.* § 20, *De Mut. Nom.* § 5); LXX. Cod. A *δυνατὸς*: Codd. *D*[sil]E, *Vat. Rom.*, Chrys. *δυνατὸς ἔσῃ*. Mangey has a note on *De Mut. Nomin.* § 5, "MS. Coll. Nov. *δυνατὸς εἶ*. Coisl. *δυνατῷ σοι*. Textus Biblicus *δυνατὸς ἔσῃ*. Videtur Philo scripsisse *δυνατὸς εἶς*."

29. Ἵ*να τί τοῦτο* (*De Mutat. Nomin.* § 2), so LXX. Codd. *D*[sil]E, *Vat. Rom.*; om. *τοῦτο* Cod. A.

ἐρωτᾷς (*ibid.*), so LXX. Cod. *D*; Cod. A *συ ἐρωτᾷς*; Cod. E, *Vat. Rom.* *ἐρωτᾷς συ*.

31. *ὁ ἥλιος αὐτῷ* (*De Somn.* i. § 14); LXX. *αὐτῷ ὁ ἥλιος*.

xxxiii. 5. *δοῦλον* (*Quis rerum div. heres*, § 7), LXX. *παῖδα*.

xxxv. 2. *τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς μεθ' ὑμῶν* (*De Confus. Ling.* § 16), so LXX. Cod. D, *Vat. Rom.*; om. *τοὺς μεθ' ὑμῶν* Codd. AE.

καὶ καθαρίσασθε καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθήλ (*De Confus. Ling.* § 16, i. 416).

4 Λέγει δὲ οὕτως· Καὶ *ἔδωκαν* Ἰακὼβ *τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν· καὶ κατέκρυψεν αὐτὰ* Ἰακὼβ *ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σικίμοις* (*Leg. Allegor.* iii. § 8, i. 92).

11 Ἐγώ *εἰμι θεὸς σός, ἐγώ θεός σου· αὐξάνου καὶ πληθύνου* (*De Mutat. Nomin.* § 3, i. 582).

16 Ἀναγκαίως *οὖν ὁ θεοφράδμων ἐν αὐταῖς ὠδῖσιν ἀποθνήσκουσαν ἣν τίκτει κενοδοξίαν παρέστησεν·* Ἀπέθανε *γάρ, φησί,* Ῥαχὴλ *δυστοκήσασα, ἐπειδὴ τῷ ὄντι ψυχῆς ἐστι θάνατος δόξης αἰσθητῆς καὶ κενῆς σπορά τε καὶ γέννησις* (*ibid.* § 15, i. 593).

18 Καὶ *μὴν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμογάστριον ὁ μὲν πατὴρ* Βενιαμίν, *ἡ δὲ μήτηρ υἱὸν ὀδύνης προσαγορεύει φυσικώτατα* (*ibid.* § 15, i. 592).

29 Ὁ *δὲ αὐτομαθοῦς ἐπιστήμης ἀξιωθεὶς* Ἰσαὰκ *ἐκλείπει μὲν καὶ αὐτὸς ὅσον σωματοειδὲς αὐτοῦ τῇ ψυχῇ συνύφαστο, προστίθεται δὲ καὶ προσκληροῦται, οὐκέθ', ὡς οἱ πρότεροι, λαῷ, γένει δέ, καθάπερ φησὶ* Μωϋσῆς· *γένος μὲν γὰρ ἓν τὸ ἀνωτάτω, λαὸς δὲ ὄνομα πλειόνων* (*De ss. Abelis et Caini*, § 2, i. 164).

καθαρίσασθε (*De Confus. Ling.* § 16), so LXX. Codd. A*D*, -*σεσθε* Cod. E: *καθαρίσθητε* LXX. *Vat. Rom.*, Chrys.

4. Ἰακὼβ 1° (*Leg. Allegor.* iii. § 8); LXX. pr. *τῷ*.

11. Ἐγώ *εἰμι θεὸς σὸς* from Gen. xvii. 1.

θεός σου (*De Mutat. Nomin.* § 3), LXX. pr. *ὁ*.

16. The allusion is to the LXX. *καὶ ἐδυστόκησεν ἐν τῷ τοκετῷ*.

29. *γένει* (*De ss. Abelis et Caini*, § 2), LXX. *πρὸς τὸ γένος αὐτοῦ*.

xxxvi. 12 Φησὶ γοῦν, ὅτι Θαμνὰ ἡ παλλακὴ Ἐλιφὰς τοῦ υἱοῦ Ἡσαῦ ἔτεκε τῷ Ἐλιφὰς τὸν Ἀμαλέκ (*De Congr. Erud. grat.* § 11, i. 527).

xxxvii. 2 Αὗται δὲ αἱ γενέσεις Ἰακώβ· Ἰωσὴφ δέκα ἑπτὰ ἐτῶν ἦν, ποιμαίνων μετὰ τῶν ἀδελφῶν τὰ πρόβατα, ὢν νέος, μετὰ τῶν υἱῶν Βαλλᾶς καὶ μετὰ τῶν υἱῶν Ζελφᾶς, τῶν γυναικῶν πατρὸς αὐτοῦ (*Quod deus immutab.* § 25, i. 290).

Οἷς ἀκολουθεῖ καὶ τὸν Ἰωσὴφ νέον τε καὶ νεώτατον ἀεὶ λέγεσθαι. Καὶ γὰρ ὅταν ἐπιστατῇ τῆς ποίμνης μετὰ τῶν νόθων ἀδελφῶν, νέος προσαγορεύεται (*De Sobriet.* § 3, i. 394).

3 Ὁ δὲ Ἰωσὴφ πέμπεται πρὸς αὐτούς, ἐπεὶ τὴν τοῦ πατρὸς ἐπιστήμην αὐστηροτέραν οὖσαν ἀδυνατεῖ φέρειν, ἵνα μάθῃ παρὰ τιθασσοτέροις ὑφηγηταῖς τὰ πρακτέα καὶ συνοίσοντα· κέχρηται γὰρ δόγματι ἐκ διαφερόντων συνυφασμένῳ, πάνυ ποικίλῳ καὶ πολυπλόκῳ, παρ' ὃ καὶ χιτῶνα κατεσκευάσθαι ποικίλον φησὶν ὁ νομοθέτης αὐτῷ, δῆλον ὅτι λαβυρινθώδους καὶ δυσεκλύτου δόξης ἐστὶν εἰσηγητής (*Quod det. potiori insid.* § 3, i. 192).

Λέγεται γάρ, ὅτι χιτῶνα ποικίλον εἶχεν (*De Somn.* i. § 38, i. 654).

7 Ὤιμην ἡμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ,

---

xxxvi. 12. ἡ παλλακὴ (*De Congr. Erud. grat.* § 11), LXX. ἦν παλλακή.

xxxvii. 2. ποιμαίνων μετὰ τῶν ἀδελφῶν τὰ πρόβατα (*Quod deus immutab.* § 25), so LXX. Codd. AE (+αὐτοῦ after ἀδελφῶν); LXX. *Vat. Rom.* ποιμαίνων τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀδελφῶν αὐτοῦ. Hebr. רעה את־אחיו בצאן.

7. ἡμᾶς (*De Somn.* ii. §§ 1, 3), so Chrys. *Hom. in Gen.* lxi. 2; LXX. ὑμᾶς.

ἀνέστη δὲ τὸ ἐμὸν δράγμα (*ibid.* ii. § 1, i. 660; § 3, i. 661).

Ὤιμην ἃ μὴ ἐθέρισα καταδεῖν σὺν ἑτέροις δράγματα (*ibid.* § 4, i. 663).

Ἀλλ' ὅ γε τῶν ἐνυπνίων μύστης ὁμοῦ καὶ μυσταγωγὸς θαρσεῖ λέγειν, ὅτι ἀνέστη τὸ αὐτοῦ δράγμα καὶ ὠρθώθη ......Διὸ προστίθησι· περιστραφέντα δὲ τὰ δράγματα ὑμῶν προσεκύνησαν τὸ ἐμὸν δράγμα (*ibid.* § 12, i. 669).

Ἔδοξα γάρ, φησίν, ἀμήτου καιρὸν ἐφεστάναι, καὶ πάντας ἡμᾶς ἀφικομένους εἰς τὸ πεδίον ἐπὶ τὴν τοῦ καρποῦ συλλογὴν δρέπανα λαβόντας θερίζειν. Αἰφνίδιον δὲ τὸ μὲν ἐμὸν δράγμα ἐπανίστασθαι καὶ μετεωρισθὲν ὀρθοῦσθαι, τὰ δὲ ὑμέτερα ὥσπερ ἀπὸ συνθήματος ἐπιδραμόντα τεθηπέναι, καὶ μετὰ τιμῆς τῆς πάσης προσκυνεῖν (*De Josepho*, § 2, ii. 42).

8 *Μὴ βασιλεύων βασιλεύσεις ἐφ' ἡμῖν, ἢ κυριεύων κυριεύσεις ἡμῶν;* (*De Somn.* ii. § 1, i. 660; § 12, i. 671).

9 *Εἶδεν οὖν, φησίν, ἐνύπνιον ἕτερον, καὶ διηγήσατο τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εἶπεν· Ὥσπερ ὁ ἥλιος*
10 *καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με.* Καὶ

δράγματα (*De Somn.* ii. §§ 1, 3), so LXX. *Vat. Rom.*; *δράχματα* Codd. A*D*E.

ἐν μέσῳ τῷ πεδίῳ (*ibid.* § 1), so LXX. Cod. A, *Vat. Rom.*, Chrys.; but *ἐν τῷ πεδίῳ* Cod. *D*, *ἐν μέσῳ τοῦ πεδίου* Cod. E.

ἀνέστη δὲ (*ibid.*), LXX. *καὶ ἀνέστη*.

8. *ἐφ' ἡμῖν* (*ibid.*), LXX. *ἐφ' ἡμᾶς*.

9. *Εἶδεν οὖν* (*ibid.* § 16); *εἶδε δὲ* LXX. *Vat. Rom.*; *ἴδεν δὲ* Codd. A*D*E.

διηγήσατο τῷ πατρὶ (*ibid.*), so LXX. Cod. E: *διηγήσατο αὐτὸ τῷ πατρὶ αὐτοῦ* Codd. AD, *Vat. Rom.*

Philo omits *ἰδοὺ ἐνυπνιάσθην ἐνύπνιον ἕτερον.*

ἐπετίμησεν αὐτῷ ὁ πατήρ, καὶ εἶπε· Τί τὸ ἐνύπνιον ὃ ἐνυπνιάσθης; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγὼ καὶ ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου, προσκυνῆσαί σοι ἐπὶ τὴν
11 *γῆν; Ἐζήλωσαν δὲ αὐτὸν οἱ ἀδελφοί, ὁ δὲ πατὴρ διετήρησε τὸ ῥῆμα* (*ibid.* ii. § 16, i. 673; §§ i. 20, i. 660, 676; cf. paraphrase in *De Josepho* § 2, ii. 42).
13—17 *Οὐχ οἱ ἀδελφοί σου ποιμαίνουσιν ἐν Συχέμ; Δεῦρο ἀποστείλω σε πρὸς αὐτούς. Ὁ δὲ εἶπεν· Ἰδοὺ ἐγώ.*
14 *Εἶπε δὲ αὐτῷ· Πορευθεὶς ἴδε, εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι. Καὶ ἀπέστειλεν αὐτὸν ἐκ τῆς κοιλάδος τῆς Χεβρών, καὶ ἦλθεν εἰς Συχέμ.*
15 *Καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ,*
16 *ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος· Τί ζητεῖς; Ὁ δὲ εἶπε· Τοὺς ἀδελφούς μου ζητῶ· ἀνάγγειλόν μοι, ποῦ βόσκουσιν.*
17 *Εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος· Ἀπήρκασιν ἐντεῦθεν· ἤκουσα γὰρ αὐτῶν λεγόντων· Πορευθῶμεν εἰς Δωθαείμ* (*Quod det. potiori insid.* § 2, i. 192).

---

10. LXX. *ὁ πατὴρ αὐτοῦ...τὸ ἐνύπνιον τοῦτο*; Philo om. *αὐτοῦ* and *τοῦτο*.

καὶ εἶπε (*De Somn.* ii. § 16), so LXX. Cod. A; +*αὐτῷ* Cod. *D*[sil]E, *Vat. Rom.*

11. LXX. +*αὐτοῦ* after *ἀδελφοί* and after *πατήρ*.

13. *Οὐχ* (*Quod det. pot. insid.* § 2), as LXX. Codd. ADE; *οὐχὶ* *Vat. Rom.*: *Ἰδού* (*ibid.* § 4).

ἐν Συχέμ (*ibid.* §§ 2, 4), so LXX. Codd. AE: *εἰς Συχέμ* Cod. *D*[sil], *Vat. Rom.*, Chrys. Philo, as Hebrew בשכם.

14. *ἀνάγγειλον* (*ibid.*), so LXX. Codd. AE, *Vat. Rom.*; *ἀπάγγειλον* Cod. *D*.

16. *ἀνάγγειλον* (*ibid.*), so LXX. Cod. D: *ἀπάγγειλον* Codd. AE, *Vat. Rom.*

ποῦ βόσκουσιν (*ibid.*, and *De Profug.* § 23), so LXX. In *Quod det. pot. insid.* § 8, Philo says expressly, *οὐ γὰρ ἀνεπυνθάνετο ποῦ βόσκουσιν, ἀλλὰ ποῦ ποιμαίνουσιν.* But *ποιμαίνουσιν* belongs to Jacob's question in ver. 13.

13 Ἰδοὺ γάρ, φησίν, οἱ ἀδελφοί σου ποιμαίνουσι, καὶ
ἄρχουσι παντὸς ἀλόγου μέρους τῶν ἐν αὐτοῖς, ἐν Συχέμ
—ὦμος δὲ ἑρμηνεύεται, τλητικοῦ σημεῖον πόνου...Δεῦρο
οὖν, ἀποστείλω σε πρὸς αὐτούς· τουτέστι μετακλήθητι
καὶ πρόσελθε τῇ διανοίᾳ λαβὼν ὁρμὴν ἑκούσιον εἰς τὸ τὰ
14 ἀμείνω μαθεῖν...Ἐκ γὰρ τῆς κοιλάδος τῆς Χεβρών—
συζυγὴ δὲ καὶ συνεταιρὰς καλεῖται Χεβρών, συμβολικῶς
ἡμῶν τὸ σῶμα, ὅτι συνέζευκται καὶ ὥσπερ ἑταιρίαν καὶ
15 φιλίαν πρὸς ψυχὴν τέθειται...Ὁ δὲ προεληλυθέναι δόξας
πλανώμενος εὑρίσκεται· εὗρε γάρ, φησίν, ἄνθρωπος
αὐτὸν πλανώμενον ἐν τῷ πεδίῳ, δηλῶν, ὅτι οὐχ ὁ πόνος
καθ' αὑτόν, ἀλλ' ὁ μετὰ τέχνης ἀγαθόν....Οὗτος ὁ ἔλεγχος
ἐπύθετο τῆς ψυχῆς, ἡνίκα τὴν πλάνην εἶδεν αὐτῆς· Τί
ζητεῖς;...Διὸ καὶ ἀποκρίνεται ὀρθῶς ὁ τὴν ἀρετὴν ἰδὼν
ἄνθρωπος Ἀπήρκασιν ἐντεῦθεν....Καὶ γὰρ λεγόντων
ἀκηκοέναι φησὶν αὐτῶν· Εἰς Δωθαεὶμ πορευθῶμεν
(*Quod det. potiori insid.* §§ 4—9, i. 193—196).

Εὗρε γάρ, φησίν, ἄνθρωπος τὸν Ἰωσὴφ ἐν πεδίῳ,
16 καὶ ἠρώτησεν αὐτόν· Τί ζητεῖς; Ὁ δὲ εἶπεν· Τοὺς
ἀδελφούς μου ἐγὼ ζητῶ· ἀνάγγειλόν μοι, ποῦ βόσκουσιν.
17 Εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος· Ἀπήρκασιν ἐντεῦθεν. Ἤκουσα
γὰρ αὐτῶν λεγόντων· Πορευθῶμεν εἰς Δωθαΐν. Καὶ
ἐπορεύθη Ἰωσὴφ κατόπιν τῶν ἀδελφῶν αὐτοῦ, καὶ εὗρεν
αὐτοὺς ἐν Δωθαΐν (*De Profugis* § 23, i. 564).

33 Θηρίον πονηρὸν ἥρπασε καὶ κατέφαγεν Ἰωσήφ (*De Somn.* ii. § 9, i. 667).

---

17. κατόπιν (*De Profug.* § 23), LXX. κατόπισθεν.
Δωθαΐν (*ibid.*); Δωθαείμ *Quod det. pot. insid.* § 2, as LXX.

33. LXX. θηρίον πονηρὸν κατέφαγεν αὐτὸν, θηρίον ἥρπασεν τὸν Ἰωσήφ.

36 Ἀπέδοντο τὸν Ἰωσὴφ τῷ σπάδοντι Φαραώ, ἀρχιμαγείρῳ (*De Ebrietate*, § 51, i. 389).

xxxviii. 6 Θάμαρ ἦν τῶν ἀπὸ τῆς Παλαιστίνης Συρίας γύναιον (*De Nobilit.* § 6, ii. 443).

6, 7 Διὰ τοῦτο καὶ τὸν Εἲρ χωρὶς αἰτίας περιφανοῦς πονηρὸν οἶδεν ὁ θεὸς καὶ ἀποκτείνει......Πονηρὸν δὲ φύσει μέν, ὡς εἶπον, ἐστὶ καὶ ψυχῆς ἐπίβουλον, οὐ φαίνεται δὲ πᾶσιν, ἀλλὰ μόνῳ τῷ θεῷ, καὶ εἴ τις θεῷ φίλος· ἐναντίον γάρ, φησί, κυρίου πονηρὸς Εἴρ.... Ὁρᾷς, ὅτι τὸν Εἲρ ἀποκτείνει οὐχ ὁ κύριος, ἀλλ' ὁ θεός; οὐ γάρ, καθ' ὃ ἄρχει καὶ ἡγεμονεύει δυναστείᾳ κράτους αὐτεξουσίᾳ χρώμενος, ἀναιρεῖ τὸ σῶμα, ἀλλὰ καθ' ὃ ἀγαθότητι καὶ χρηστότητι χρῆται. Ὁ θεὸς γὰρ ἀγαθότητός ἐστι τοῦ αἰτίου ὄνομα.......

Τεκμήριον δέ, ὅταν αὐτὴν ἀγάγηται ὁ Εἴρ, εὐθὺς πονηρός τε εὑρίσκεται καὶ κτείνεται, λέγει γάρ· Καὶ ἔλαβεν Ἰούδας γυναῖκα Εἲρ τῷ πρωτοτόκῳ αὐτοῦ, ᾗ ὄνομα Θάμαρ, καὶ εὐθὺς λέγει· Καὶ ἐγένετο Εἲρ πονηρὸς ἔναντι κυρίου, καὶ ἀπέκτεινεν αὐτὸν ὁ θεός (*Leg. Allegor.* iii. § 23, i. 100, 101).

9 Χορηγὸς δέ ἐστι τούτου τοῦ δόγματος ὁ τοῦ δερματίνου Ἢρ συγγενὴς Αὐνάν· Γνοὺς γάρ, φησίν, οὗτος, ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα, ὅταν εἰσῆλθε πρὸς τὴν

---

36. Between Ἰωσὴφ and τῷ σπάδοντι the LXX. has εἰς Αἴγυπτον τῷ Πετρεφῇ (Cod. E, *Vat. Rom.*; Πετεφρῇ Cod. A).

xxxviii. 7. Εἲρ (*Leg. Allegor.* iii. § 22); Ἢρ (*De Posterit. Cain.* § 53), as LXX.

Philo gives both ἐναντίον κυρίου and ἔναντι κυρίου: ἐναντίον κυρ. LXX. Codd. ADE: ἔναντι κυρ. *Vat. Rom.*

9. εἰσῆλθε (*De Posterit. Cain.* § 53), LXX. εἰσήρχετο.

γυναῖκα τοῦ ἀδελφοῦ, ἐξέχει τοῦτο ἐπὶ τὴν γῆν (*De Posterit. Caini*, § 53, i. 260).

Ὁ γοῦν Αὐνάν, αἰσθόμενος ὅτι οὐχ αὐτῷ ἔσται τὸ σπέρμα, οὐ πρότερον ἐπαύσατο τὸ λογικόν, ὅπερ ἄριστον τῶν ὄντων γένος ἐστί, διαφθείρων, ἢ καὶ αὐτὸς ἀνέδεξατο φθορὰν παντελῆ (*Quod deus immut.* § 4, i. 275).

11 ...ὥσπερ καὶ ἡ παρὰ Μωϋσεῖ Θάμαρ. Καὶ γὰρ ταύτῃ προστέτακται χηρευούσῃ καθέζεσθαι ἐν τῷ τοῦ μόνου καὶ σωτῆρος οἴκῳ πατρός... (*ibid.* § 29, i. 293).

20 Λέγεται γάρ· Ἀπέστειλε δὲ Ἰούδας τὸν ἔριφον ἐν
χειρὶ τοῦ ποιμένος αὐτοῦ Ὀδολαμίτου κομίσασθαι τὸν
ἀῤῥαβῶνα παρὰ τῆς γυναικός, καὶ οὐχ εὗρεν αὐτήν.
21 Ἐπηρώτησε δὲ τοὺς ἄνδρας τοὺς ἐκ τοῦ τόπου· Ποῦ
ἐστιν ἡ πόρνη ἡ γενομένη ἐν Αἰνὰν ἐπὶ τῆς ὁδοῦ; Καὶ
22 εἶπον, Οὐκ ἦν ἐνταῦθα πόρνη. Καὶ ἀπεστράφη πρὸς
Ἰούδαν, καὶ εἶπεν· Οὐχ εὗρον· καὶ οἱ ἄνθρωποι οἱ ἐκ
23 τοῦ τόπου λέγουσι, μὴ εἶναι ὧδε πόρνην. Εἶπε δὲ
Ἰούδας· Ἐχέτω αὐτά· ἀλλὰ μήποτε καταγελασθῶμεν,
ἐγὼ μὲν ἀπέσταλκα τὸν ἔριφον τοῦτον, σὺ δὲ οὐχ εὕρηκας
(*De Profug.* § 27, i. 568).

25 ff. Ἡ δὲ Θάμαρ ἐγκύμων τε γενομένη θείων σπερμάτων, καὶ τὸν μὲν σπείραντα οὐκ ἰδοῦσα—λέγεται γὰρ τότε ἐγκαλύψασθαι τὸ πρόσωπον, ὡς Μωϋσῆς, ἡνίκα ἀπεστράφη, εὐλαβούμενος τὸν θεὸν ἰδεῖν—, τὰ δὲ σύμβολα

ἀδελφοῦ (*De Posterit. Cain.* § 53), LXX. + αὐτοῦ.

ἐξέχει τοῦτο (*ibid.*), LXX. ἐξέχεεν.

20. ἔριφον (*De Profug.* § 27), LXX. + ἐξ αἰγῶν.

Ὀδολαμίτου (*ibid.*), LXX. Ὀδολλαμίτου.

21. ἐκ τοῦ τόπου (*ibid.*), so LXX. Codd. DE, *Vat. Rom.*; ἐπὶ τοῦ τόπου Cod. A.

22. ὧδε (*ibid.*), so LXX. Cod. D^{sil}, *Vat. Rom.*; ἐνταῦθα Codd. AE.

καὶ τὰ μαρτύρια διαθρήσασα, καὶ παρ' αὐτῇ δικάσασα
25 ὅτι θνητὸς ταῦτ' οὐ δίδωσιν, ἀνέκραγεν· Οὗτινος ταῦτ'
ἐστίν, ἐξ ἐκείνου ἐν γαστρὶ ἔχω. Τίνος ὁ δακτύλιος
ἡ πίστις, ἡ τῶν ὅλων σφραγίς, ἡ ἀρχέτυπος ἰδέα, ᾗ
τὰ πάντ' ἀνείδεα ὄντα καὶ ἄποια σημειωθέντα ἐτυπώθη;
Τίνος δὲ καὶ ὁρμίσκος ἢ ὁ κόσμος, εἱμαρμένη, ἀκο-
λουθία καὶ ἀναλογία τῶν συμπάντων, εἱρμὸν ἔχουσα
ἀδιάλυτον; Τίνος δὲ καὶ ἡ ῥάβδος, τὸ ἐρηρεισμένον, τὸ
ἀκράδαντον, τὸ ἄτρεπτον, ἡ νουθεσία, ὁ σωφρονισμός, ἡ
παιδεία; Τὸ σκῆπτρον, ἡ βασιλεία, τίνος; ἆρ' οὐχὶ μόνου
θεοῦ; Τοιγαροῦν ὁ ἐξομολογητικὸς τρόπος, Ἰούδας, ἡσθεὶς
αὐτῆς τῷ κατεχομένῳ καὶ θεοφορήτῳ, παῤῥησιάζεται
26 λέγων· Δεδικαίωται, ἧς ἕνεκα αἰτίας ἐγὼ οὐδενὶ
θνητῷ αὐτὴν ἔδωκα, ἀσεβὲς ἡγούμενος μιαίνειν βε-
βήλοις τὰ θεῖα (*De Mutat. Nomin.* § 23, i. 598, 599).

xxxix. 1 Ἕτερος δέ τις, φιλοσώματος καὶ φιλοπαθὴς νοῦς, πραθεὶς τῇ ἀρχιμαγείρῳ τοῦ συγκρίματος ἡμῶν ἡδονῇ ...(*Quod deus immut.* § 24, i. 289).

Λέγει γὰρ ἑτέρωθι, Κατήχθη δὲ Ἰωσὴφ εἰς Αἴγυπτον, καὶ ἐκτήσατο αὐτὸν εὐνοῦχος Φαραὼ ἀρχιμάγειρος (*De Ebriet.* § 51, i. 389).

Καταστήσας εἱρκτοφύλακα, ὥς φησι τὸ λόγιον, Πεν-τεφρῆ τὸν σπάδοντα καὶ ἀρχιμάγειρον (*De Mutat. Nomin.* § 32, i. 604).

---

25. Οὗτινος ταῦτ' ἐστίν, ἐξ ἐκείνου ἐν γαστρὶ ἔχω (*De Mutat. Nomin.* § 23): LXX. Codd. ADE ἐκ τοῦ ἀνθρώπου τίνος (*Vat. Rom.* οὗτινος) ταῦτά ἐστιν, ἐγὼ ἐν γαστρὶ ἔχω.

26. Philo omits, probably through condensation, the words of LXX. Θάμαρ ἢ ἐγὼ after δεδικαίωται; and for οὗ εἵνεκεν reads ἧς ἕνεκα αἰτίας.

xxxix. 1. Philo omits the name Πετεφρῆς (so LXX.) in *De Ebriet.*

Τούτων μία τῶν γυναικῶν ἐστιν ἡ Πεντεφρῆ τοῦ Φαραὼ ἀρχιμαγείρου (*Leg. Allegor.* iii. § 84, i. 134).

2, 3 Καὶ γὰρ αὐτὸς ἄνδρα ἐπιτυγχάνοντα εἶπε τὸν Ἰωσήφ, οὐκ ἐν ἅπασιν, ἀλλ' ἐν οἷς ὁ θεὸς τὸ εὐοδεῖν ἐχαρίζετο (*De Posterit. Caini*, § 23, i. 240).

7 Διὸ καὶ Ἰωσήφ, ὁ ἐγκρατὴς τρόπος, τῇ λεγούσῃ
ἡδονῇ· Κοιμήθητι μετ' ἐμοῦ καὶ ἄνθρωπος ὢν ἀνθρωποπάθησον καὶ ἀπόλαυσον τῶν κατὰ τὸν βίον τερπνῶν,
9 ἐναντιοῦται φάσκων· Ἁμαρτήσομαι εἰς τὸν θεὸν τὸν
φιλάρετον, εἰ γενοίμην φιλήδονος· πονηρὸν γὰρ τοῦτ' ἔργον......Πλὴν οὐκ ἀφίσταται ζυγομαχοῦσα ἡ ἡδονή,
12 ἀλλὰ τῶν ἱματίων λαβομένη φησί· Κοιμήθητι μετ'
ἐμοῦ....Τί οὖν ὁ ἐγκρατής; Εἰ μέλλω, φησί, δουλεύειν πάθει διὰ τὴν ποιητικὴν ὕλην, καὶ ἐξελεύσομαι ἀπὸ τοῦ
13 πάθους ἔξω. Καταλιπὼν γὰρ τὰ ἱμάτια ἐν ταῖς
χερσὶν αὐτῆς ἔφυγε καὶ ἐξῆλθεν ἔξω (*Leg. Allegor.* iii. §§ 84, 85, i. 134, 135; cf. *De Migrat. Abrah.* § 4, i. 439).

21, 22 ...Εἰς μὲν τὸ δεσμωτήριον τῶν παθῶν εἰσάγεται, χάριν δὲ εὑρίσκει τὴν ἀτιμίας ἀδοξοτέραν παρὰ τῷ ἀρχιδεσμοφύλακι....Ὁ δὲ ἐπίτροπος καὶ φύλαξ καὶ ταμίας τούτων ὁ ἡγεμὼν τοῦ δεσμωτηρίου (*Quod deus immutab.* § 24, i. 289).

xl. 2 Τρεῖς δὲ εἰσὶν οἱ τῆς ἀκολάστου καὶ ἀκράτορος ψυχῆς ἑστιοῦχοί τε καὶ θεραπευταί, ἀρχισιτοποιός, ἀρχιμάγειρος, ἀρχιοινοχόος, ὧν ὁ θαυμάσιος μέμνηται Μωϋσῆς διὰ

---

§ 51; but in *Leg. Allegor.* iii. § 84 and § 85, *De Mutat. Nomin.* § 32 he mentions Πεντεφρῆς.

13. Καταλιπὼν, so LXX. Cod. D^{sil}; καταλείπων Codd. AE.
τὰ ἱμάτια, so LXX. Cod. E; + αὐτοῦ Codd. AD.
ἐν ταῖς χερσὶν αὐτῆς, so LXX. Codd. DE; om. Cod. A.

τούτων· Καὶ ὠργίσθη Φαραὼ ἐπὶ τοῖς δυσὶν εὐνούχοις,
3 *ἐπὶ τῷ ἀρχιοινοχόῳ, καὶ ἐπὶ τῷ ἀρχισιτοποιῷ, καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ παρὰ τῷ ἀρχιμαγείρῳ* (*De Ebriet.* § 51, i. 389).

8 *Αἰτιάσαιτο δ' ἂν ἅπας ὀρθὸς λόγος καὶ Ἰωσὴφ εἰπόντα διὰ τοῦ θεοῦ τὴν σαφήνειαν εὑρεθήσεσθαι τῶν ἐνυπνίων* (*De Cherub.* § 35, i. 162).

...*ὁμολογῶν τὰς μὲν ἀληθεῖς καὶ σαφεῖς τῶν πραγμάτων συγκρίσεις εἶναι κατὰ θεόν* (*De Migrat. Abrah.* § 5, i. 439).

9, 10 *Ἐν τῷ ὕπνῳ μου ἦν ἄμπελος ἐναντίον μου, ἐν δὲ τῇ ἀμπέλῳ τρεῖς πυθμένες, καὶ αὐτὴ θάλλουσα, ἀνενηνοχυῖα*
11 *βλαστούς, καὶ πέπειροι βότρυες σταφυλῆς· καὶ τὸ ποτήριον Φαραὼ ἐν τῇ χειρί μου. Καὶ ἔλαβον τὴν σταφυλὴν καὶ ἐξέθλιψα αὐτὴν εἰς τὸ ποτήριον, καὶ ἔδωκα τὸ ποτήριον εἰς τὰς χεῖρας Φαραώ* (*De Somn.* ii. § 23, i. 679).

*Αὐτὴ γάρ, φησί, θάλλουσα, ἀνενηνοχυῖα βλαστούς, *περὶ ἣν* βότρυες σταφυλῆς ἦσαν* (*ibid.* § 30, i. 685).

15 *Τὸ αὐχεῖν ἐπὶ τῷ γένει εἶναι Ἑβραίων...περάτης γὰρ ὁ Ἑβραῖος ἑρμηνεύεται· τὸ σεμνύνεσθαι, ὅτι ὧδε οὐκ ἐποίησεν οὐδέν* (*De Migrat. Abrah.* § 5, i. 439).

---

xl. 2. *εὐνούχοις* (*De Ebriet.* § 51), LXX. + *αὐτοῦ*.

3. *παρὰ τῷ ἀρχιμαγείρῳ* (*ibid.*), probably a slip for *παρὰ τῷ ἀρχιδεσμοφύλακι*, which is read in LXX. Codd. AE; but the words are wanting in *Vat. Rom.*

8. *τὴν σαφήνειαν* (*De Cherub.* § 35); Philo paraphrases the LXX. *οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν;*

10. *πέπειροι βότρυες σταφυλῆς* (*De Somn.* ii. § 23); LXX. Cod. A, *Vat. Rom.* *πέπειροι οἱ βότρυες* (Codd. DE *τῆς*) *σταφυλῆς*.

11. *εἰς τὰς χεῖρας* (*ibid.*), so LXX. Codd. AD; *εἰς τὴν χεῖρα* Cod. E, *Vat. Rom.* The Hebrew has the singular עַל־כַּף.

περὶ ἣν "Melius *πέπειροι*. Ita enim Textus postulat, ut etiam loci sensus" (Mangey).

16 Φαντασιοῦται δὲ ἑκάτερος τὰ οἰκεῖα· ὁ μὲν οἶνον καὶ
τὸ γεννητικὸν οἴνου φυτόν, ἄμπελον, ὁ δὲ ἐπὶ *κανοῦ*
διακειμένους ἐκκεκαθαρμένους ἄρτους καὶ κανηφοροῦντα
ἑαυτόν (*De Somn.* ii. § 23, i. 679).

Ὤιμην γάρ, φησί, τρία κανᾶ χονδριτῶν αἴρειν ἐπὶ
τῆς κεφαλῆς μου. Κεφαλὴν μὲν τοίνυν ἀλληγοροῦντες
φαμὲν εἶναι ψυχῆς τὸν ἡγεμόνα νοῦν (*ib.* § 31, i. 686).

20 Λέγεται γάρ, ὅτι ἡμέρα γενέσεως ἦν Φαραώ (*De
Ebriet.* § 50, i. 388).

xli. 17 Ἐν γὰρ τῷ ὕπνῳ μου, φησίν, ᾤμην ἑστάναι παρὰ
18 τὸ χεῖλος τοῦ ποταμοῦ, καὶ ὥσπερ ἐκ τοῦ ποταμοῦ ἀνέ-
βαινον βόες ἑπτά, ἐκλεκταὶ ταῖς σαρξὶ καὶ καλαὶ τῷ εἴδει,
19 καὶ ἐνέμοντο ἐν τῷ ἄχει. Καὶ ἰδοὺ ἕτεραι ἑπτὰ βόες
ἀνέβαινον ὀπίσω αὐτῶν ἐκ τοῦ ποταμοῦ, πονηραὶ καὶ
αἰσχραὶ τῷ εἴδει, καὶ λεπταὶ ταῖς σαρξίν, ἃς οὐκ εἶδον
20 τοιαύτας ἐν ὅλῃ τῇ Αἰγύπτῳ αἰσχροτέρας. Καὶ κατέ-
φαγον αἱ βόες αἱ λεπταὶ καὶ αἰσχραὶ τὰς ἑπτὰ βόας τὰς

---

16. *κανοῦ* (*De Somn.* ii. § 23). Mangey conjectures κανῶν.

xli. 17. παρὰ τὸ χεῖλος (*ibid.* § 32), so LXX. Codd. D^{sil}E, *Vat. Rom.*, but ἐπὶ τὸ χεῖλος Cod. A, as *De Somn.* ii. § 36.

18. βόες ἑπτά (*ibid.* § 32), LXX. ἑπτὰ βόες. Philo inverts the order of the sentence in the LXX. καλαὶ τῷ εἴδει καὶ ἐκλεκταὶ ταῖς σαρξίν.

19. ἕτεραι ἑπτὰ βόες (*ibid.*), LXX. ἑπτὰ βόες ἕτεραι. Philo omits καὶ ἐνέμοντο ἐν τῷ ἄχει, as LXX. Codd. DE (asterisc. adscr. $A^{a?mg}$), *Vat. Rom.:* but Cod. A inserts after σαρξίν. The sentence is not in the Hebr.

ἐν ὅλῃ τῇ Αἰγύπτῳ (*ibid.*); LXX. Cod. A ἐν ὅλῃ Αἰγύπτῳ, Cod. *D* ἐν ὅλῃ γῇ Αἰγύπτῳ, Cod. E ἐν ὅλῃ τῇ γῇ Αἰγύπτου: *Vat. Rom.* ἐν ὅλῃ γῇ Αἰγύπτου.

20. αἱ βόες (*ibid.*), LXX. αἱ ἑπτὰ βόες.

αἱ λεπταὶ καὶ αἰσχραὶ (*ibid.*), so LXX. Cod. D: αἱ αἰσχρ. καὶ λεπτ. Codd. AE, *Vat. Rom.*

21 πρώτας τὰς καλὰς καὶ ἐκλεκτάς, καὶ εἰσῆλθον εἰς τὰς
κοιλίας αὐτῶν, καὶ αἱ ὄψεις αὐτῶν αἰσχραί, καθ' ἃ καὶ
22 τὴν ἀρχὴν εἶπον. Ἐξεγερθεὶς δὲ ἐκοιμήθην, καὶ εἶδον
πάλιν ἐν τῷ ὕπνῳ μου, καὶ ὡς ἑπτὰ στάχυες ἀνέβαινον
23 ἐν πυθμένι ἑνί, πλήρεις καὶ καλοί· ἄλλοι δὲ ἑπτὰ στάχυες
24 λεπτοὶ καὶ ἀνεμόφθοροι ἀνεφύοντο ἐχόμενοι· καὶ κατέπιον
οἱ ἑπτὰ στάχυες τοὺς καλοὺς καὶ τοὺς πλήρεις (*De Somn.*
ii. § 32, i. 687; cf. § 36, i. 690 (ver. 17) ἑστάναι ἐπὶ τὸ
χεῖλος τ. ποτ.).

43 Εἶτ' ἐπίσκοπος ἢ κηδεμὼν Αἰγύπτου πάσης ἀνακηρύττεται (*ibid.* ii. § 6, i. 664).

Ὅταν δὲ ἐπὶ τὸ δευτερεῖον ἅρμα τοῦ βασιλεύειν νοῦ δοκοῦντος ἀνέρχηται Φαραώ, τὸν Αἰγυπτιακὸν πάλιν ἱδρύεται τῦφον (*De Migrat. Abrah.* § 29, i. 461).

Ἀλλ' ἐκεῖνός τε καὶ ἐπὶ τὸ δευτερεῖον ἄνεισιν ἅρμα, ὑποτυφούμενος ὑπ' αἰώρας φρενῶν καὶ κενοῦ φυσήματος (*De Somn.* ii. § 6, i. 665).

45 Ἔδωκε γάρ, φησίν, αὐτῷ τὴν Ἀσενὲθ θυγατέρα Πετεφρῆ, ἱερέως Ἡλίου πόλεως (*ibid.* i. § 14, i. 632).

---

21. Philo omits καὶ οὐ διάδηλοι ἐγένοντο ὅτι εἰσῆλθον εἰς τὰς κοιλίας αὐτῶν, probably through *homoeoteleuton*, after κοιλίας αὐτῶν.

τὴν ἀρχὴν εἶπον. Philo inserts εἶπον.

22. εἶδον (*De Somn.* ii. § 32), so LXX. Cod. D, *Vat. Rom.*; ἴδον Codd. AE.

ὡς (*ibid.*); LXX. ὥσπερ.

23. ἐχόμενοι (*ibid.*); LXX. + αὐτῶν.

24. οἱ ἑπτὰ στάχυες (*ibid.*); LXX. + οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι τοὺς ἑπτὰ στάχυας.

43. τὸ δευτερεῖον ἅρμα (*De Migrat. Abrah.* § 29), LXX. τὸ ἅρμα τὸ δεύτερον.

45. Ἀσενὲθ (*De Somn.* i. § 14), so LXX. Cod. E, *Vat. Rom.*; Ἀσεννέθ Cod. A.

Πετεφρῆ (*ibid.*), so LXX. Cod. E, *Vat. Rom.*; Πετρεφῆ Cod. A. Cf. xxxix. 1 *n.*

49 Τὸν γοῦν ὑπὸ Ἰωσὴφ ἐν Αἰγύπτῳ συναχθέντα σῖτόν φησιν ὁ νόμος μὴ δυνηθῆναι ἀριθμηθῆναι· καὶ ἐπιφέρει οὐ γὰρ ἦν ἀριθμός, ἐπειδὴ τὰ τοῦ σώματος καὶ τῶν Αἰγυπτίων παθῶν θρεπτικὰ οὐκ ἄξια συνόλως ἀριθμεῖσθαι (*De Posterit. Caini*, § 28, i. 244).

xlii. 1 ff. Paraphr. *De Josepho*, § 28, ii. 64.

11 Πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου, εἰρηνικοί ἐσμεν (*De Confus. Ling.* § 11, i. 411; § 28, i. 427).

15, 16 Τότε μὲν ὀμνὺς νὴ τὴν ὑγείαν Φαραώ, τότε δὲ ἔμπαλιν οὐ τὴν ὑγείαν Φαραώ (*De Migrat. Abrah.* § 29, i. 461).

18 Τὸ φοβεῖσθαι τὸν θεόν, εἰ καὶ μηδέπω γέγονεν ἀγαπᾶν ἱκανός (*ibid.* § 5, i. 439).

36 Παρ' ὃ καὶ ὁ πτερνιστὴς Ἰακὼβ ὁμολογεῖ φάσκων· Ἐπ' ἐμὲ ἐγένετο ταῦτα πάντα (*Leg. Allegor.* i. § 18, i. 55, *De Somn.* ii. § 31, i. 686).

xliii. 10 Καὶ ὁ Ἰούδας φησίν· Εἰ μὴ γὰρ ἐμελλήσαμεν, ἤδη ἂν ὑπεστρέψαμεν, καὶ κατέβημεν εἰς Αἴγυπτον· δὶς οὖν φησιν, ἀλλ' ἐκεῖθεν ἐπανεσώθημεν (*Quis rerum div. heres*, § 51, i. 510).

---

xlii. 15, 16. According to Philo, νὴ τὴν ὑγείαν Φ. should stand in ver. 15, and οὐ τὴν ὑγείαν Φ. in ver. 16.

But in 15 LXX. Codd. AE *Vat. Rom.* νή, Codd. DF μὰ; and in ver. 16 Codd. ADF *Vat. Rom.* νή, Cod. E μά.

ὑγείαν is found in Cod. E; ὑγίαν in Codd. ADF; ὑγίειαν in *Vat. Rom.*

36. ταῦτα πάντα (*Leg. Allegor.* i. § 18), so LXX. Cod. F, *Vat. Rom.*, Chrys.; πάντα ταῦτα Codd. AD.

xliii. 10. ἐμελλήσαμεν (*Quis rerum div. heres*, § 51); LXX. ἐβραδύναμεν. Philo either quotes from memory, or uses a more familiar word than the LXX.

ὑπεστρέψαμεν (*ibid.*); LXX. adds δὶς, as Hebrew.

xlv. 7 Τὸ φάναι μὴ πρὸς ἀνθρώπων ἀπεστάλθαι, ὑπὸ δὲ τοῦ θεοῦ κεχειροτονῆσθαι πρὸς τὴν τοῦ σώματος καὶ τῶν ἐκτὸς ἔννομον ἐπιστασίαν (*De Migrat. Abrah.* § 5, i. 439).

9 Ταῦτα δὲ ηὔξατο, αἰτιώμενος τὸν πολιτικὸν Ἰωσήφ, ὃς ἐτόλμησεν εἰπεῖν, ὅτι ἐκθρέψω σε ἐκεῖ. Σπεύσαντες γάρ, φησίν, ἀνάβητε πρὸς τὸν πατέρα μου καὶ εἴπατε αὐτῷ· Τάδε λέγει, καὶ τὰ ἑξῆς. Εἶτα· Κατάβηθι πρός
11 με καὶ μὴ μείνῃς. Ἐπὶ πᾶσι· Καὶ ἐκθρέψω σε ἐκεῖ, ἔτη γὰρ πέντε λιμός (*Leg. Allegor.* iii. § 63, i. 122).

16 Ἐχάρη Φαραὼ καὶ ἡ θεραπεία αὐτοῦ διὰ τὴν τῶν ἀδελφῶν Ἰωσὴφ ἄφιξιν (*De Mutat. Nomin.* § 31, i. 604).

18 Παραλαβόντες τὸν πατέρα καὶ τὰ ὑπάρχοντα ὑμῶν ἥκετε πρός με....Δώσω, φησίν, ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ φάγεσθε τῶν μυελῶν γῆς (*ibid.* § 32, i. 604, 605).

22 ...τὸν μὲν ὁμογάστριον ἀδελφόν, τὸν αἰσθήσεως ἔκγονον ὄντα—ἥκιστα γὰρ ὁμοπατρίους οἶδε—, πέντε ἐξάλλοις δωρεῖται στολαῖς (*De Migrat. Abrah.* § 37, i. 468).

26 Καὶ ἐπὶ τοῦ Ἰακὼβ ἀπιστοῦντος τοῖς λέγουσιν, ὅτι

Philo clearly had δὶς in his text; for he adds καὶ κατέβημεν εἰς Αἴγυπτον· "δὶς" οὖν φησιν, ἀλλ' ἐκεῖθεν ἐπανεσώθημεν. The omission is accidental.

xlv. 11. ἔτη γὰρ πέντε λιμός (*Leg. Allegor.* iii. § 63); LXX. ἔτι γὰρ πέντε ἔτη λιμός.

18. Παραλαβόντες (*De Mutat. Nomin.* § 32), so LXX. Codd. ADF; ἀναλαβόντες LXX. *Vat. Rom.*, Chrys.

πατέρα (*ibid.*); LXX. + ὑμῶν.

τῶν μυελῶν γῆς (*ibid.*); LXX. τὸν μυελὸν τῆς γῆς.

22. πέντε ἐξάλλοις...στολαῖς (*De Migrat. Abrah.* § 37). LXX. Cod. A πέντε ἀλλασσούσας στολάς: Cod. D[sil]E *Vat. Rom.* πέντε ἐξαλλασσούσας στολάς.

ζῇ Ἰωσὴφ καὶ ἄρχει πάσης γῆς Αἰγύπτου. Ἐξέστη γάρ, φησί, τῇ διανοίᾳ, οὐ γὰρ ἐπίστευσεν αὐτοῖς (*Quis rerum div. heres*, § 51, i. 509).

28 *Μέγα μοί ἐστιν, εἰ ἔτι ὁ υἱός μου Ἰωσὴφ ζῇ* (*De Migrat. Abrah.* § 5, i. 439).

Λέγει γοῦν οὐχ ὁ Ἰακὼβ τῷ Ἰωσὴφ μᾶλλον, ἢ ὁ ἱερὸς λόγος παντὶ τῷ τὸ μὲν σῶμα εὐεκτοῦντι, ἐν ἀφθόνοις δὲ ταῖς εἰς περιουσίαν ὕλαις ἐξεταζομένῳ καὶ πρὸς μηδεμιᾶς ἁλισκομένῳ· Ἔτι γάρ συ ζῇς; (*De Mutat. Nomin.* § 38, i. 611).

xlvi. 1 *Ταῦτα οὐκ ἐμός ἐστι μῦθος, ἀλλὰ χρησμὸς ἐν ταῖς ἱεραῖς ἀναγεγραμμένος στήλαις· Ἀπάρας γάρ, φησίν, Ἰσραὴλ αὐτὸς καὶ πάντα τὰ αὐτοῦ, ἦλθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, καὶ ἔθυσε θυσίαν τῷ θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ* (*De Somn.* i. § 27, i. 646).

4 *Ἀλλαχόθι δέ φησι, Ἐγὼ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον, καὶ ἀναβιβάσω σε εἰς τέλος* (*De Posterit. Caini*, § 9, i. 231).

27 (cf. Ex. i. 5) *Λέγεται γάρ, ὅτι ἦσαν αἱ πᾶσαι ψυχαὶ ἐξ Ἰακὼβ πέντε καὶ ἑβδομήκοντα* (*De Migrat. Abrah.* § 37, i. 467).

---

26. *Ἐξέστη...τῇ διανοίᾳ* (*Quis rerum div. heres*, § 51), so LXX. *D*[sil], *Vat. Rom.*, Chrys. *ἐξέστη ἡ διάνοια* Codd. AF.

28. *ὁ υἱός μου Ἰωσὴφ* (*De Migrat. Abrah.* § 5), so LXX. Cod. A; *Ἰωσὴφ ὁ υἱός μου* Codd. *D*[sil] (D[vid]) F, *Vat. Rom.*

xlvi. 1. *ἦλθεν* (*De Somn.* i. § 27), so LXX. Codd. *D*[sil]F, *Vat. Rom.*; *ἦλθον* Cod. A.

ἔθυσε θυσίαν (*ibid.*), so LXX. Codd. *D*[sil]F, *Vat. Rom.*; *ἔθυσεν ἐκεῖ θυσίαν* Cod. A.

4. *ἀναβιβάσω* (*De Posterit. Cain.* 9); LXX. pr. *ἐγώ*.

27. *ἦσαν αἱ πᾶσαι κ.τ.λ.* The reference is to Ex. i. 5.

33 *Φησὶ γάρ· Ἂν ὁ βασιλεὺς—νοῦς, τῆς σωματικῆς χώρας—πυνθάνηται, τί τὸ ἔργον ὑμῶν, ἀποκρίνεσθε·*
34 *Ἄνδρες κτηνοτρόφοι ἐσμέν* (*De Agricult.* § 13, i. 309).

Παρ' ὃ καὶ ἀκολουθεῖ βδέλυγμα Αἰγυπτίων εἶναι πάντα προβάτων ποιμένα· τὸν γὰρ κυβερνήτην καὶ ὑφηγητὴν τῶν καλῶν ὀρθὸν λόγον βδελύττεται πᾶς φιλοπαθής (*De ss. Abelis et Caini,* § 12, i. 171).

xlvii. 3 *Ἅτε οὖν παρὰ πανσόφῳ πατρὶ παιδευθέντες οἱ τοῦδε υἱεῖς, κἂν εἰς τὸ Αἰγύπτιον φιλοπαθὲς σῶμα καταβῶσι, καὶ τῷ διασκεδαστῇ τῶν καλῶν ἐντύχωσι Φαραώ, ὃς βασιλεὺς εἶναι δοκεῖ τοῦ συγκριτικοῦ ζῴου, μηδὲν καταπλαγέντες τῆς ἀφθόνου παρασκευῆς ὁμολογοῦσιν ὅτι ποιμένες προβάτων εἰσίν, οὐ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ πατέρες αὐτῶν* (*ibid.* § 11, i. 171).

Πυνθανομένου γοῦν τοῦ βασιλέως· Τί τὸ ἔργον ὑμῶν; ἀποκρινοῦνται· Ποιμένες ἐσμέν, καὶ οἱ πατέρες ἡμῶν (*De Agricult.* § 13, i. 309).

4 *...μετὰ παρρησίας αὐτῷ λεκτέον, ὅτι παροικεῖν, οὐ κατοικεῖν ἤλθομεν. Τῷ γὰρ ὄντι πᾶσα μὲν ψυχὴ σοφοῦ πατρίδα μὲν οὐρανόν, ξένην δὲ γῆν ἔλαχε, καὶ νομίζει τὸν μὲν σοφίας οἶκον ἴδιον, τὸν δὲ σώματος ὀθνεῖον, ᾧ καὶ παρεπιδημεῖν οἴεται* (*ibid.* § 14, i. 310).

---

33. LXX. Cod. B *ἐὰν οὖν καλέσῃ ὑμᾶς Φαραὼ καὶ εἴπῃ ὑμῖν Τί τὸ ἔργον ὑμῶν ἐστίν; ἐρεῖτε Ἄνδρες κτηνοτρόφοι ἐσμὲν οἱ παῖδές σου ἐκ παιδὸς ἕως τοῦ νῦν, καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν.* Codd. A*D* omit *ἐστίν*, as Philo.

34. LXX. Cod. B *βδέλυγμα γάρ ἐστιν Αἰγυπτίων* (*τοῖς Αἰγυπτίοις* Cod. A, Chrys., *Αἰγυπτίοις* Cod. *D*[sil], *Vat. Rom.*) *πᾶς ποιμὴν προβάτων.*

xlvii. 3. LXX. Cod. B *Vat. Rom.* *ποιμένες προβάτων οἱ παῖδές σου, καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν* (+*ἐκ παιδιόθεν ἕως τοῦ νῦν* Cod. A).

9 *Εἰκότως δὲ καὶ ὁ ἀσκητὴς Ἰακὼβ τὴν ἐν σώματι παροικίαν ὀλοφύρεται λέγων· Αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ, μικραὶ καὶ πονηραὶ γεγόνασιν· οὐκ ἐξίκοντο εἰς ἡμέρας τῶν πατέρων μου, ἃς παρῴκησαν* (*De Confus. Ling.* § 17, i. 417).

24 *Ὅλῃ δὲ Αἰγύπτῳ καὶ νόμους ἀναγράφει, ὅπως τιμῶσιν αὐτάς, καὶ φόρους καὶ δασμοὺς ὡς βασιλεῦσιν ἀνὰ πᾶν ἔτος κομίζωσι· τὸν γὰρ σῖτον ἀποπεμπτοῦν κελεύει* (*De Migrat. Abrah.* § 37, i. 468).

xlviii. 1 ff. *Τί δὲ παθὼν ὁ αὐτὸς οὗτος Ἰακώβ, τοῦ Ἰωσὴφ τοὺς δύο υἱοὺς προσαγαγόντος, τὸν πρεσβύτερον Μανασσῆν καὶ τὸν νεώτερον Ἐφραΐμ, ἐναλλάττει τὰς χεῖρας καὶ τὴν μὲν δεξιὰν ἐπιτίθησι τῷ νεωτέρῳ Ἐφραΐμ, τὴν δὲ εὐώνυμον τῷ πρεσβυτέρῳ Μανασσῇ, καὶ βαρὺ τὸ πρᾶγμα ἡγησαμένου τοῦ Ἰωσὴφ καὶ οἰηθέντος τὸν πατέρα ἄκοντα*
19 *σφαλῆναι περὶ τὴν τῶν χειρῶν ἐπίθεσιν, φησίν· Οὐ διήμαρτον, ἀλλ' οἶδα, τέκνον, οἶδα, καὶ οὗτος ἔσται εἰς λαόν, καὶ οὗτος ὑψωθήσεται, ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται ;* (*Leg. Allegor.* iii. § 30, i. 105).

5 *Οἱ δύο υἱοί σου, οἱ γενόμενοι ἐν Αἰγύπτῳ πρὸ τοῦ με ἐλθεῖν εἰς Αἴγυπτον, ἐμοί εἰσιν· Ἐφραῒμ καὶ Μανασσῆς*

---

9. Philo (*De Confus. Ling.* § 17) condenses the LXX. Αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου ἃς παροικῶ ἑκατὸν τριάκοντα ἔτη· μικραὶ καὶ πονηραὶ γεγόνασιν αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου· οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν ἐτῶν τῆς ζωῆς τῶν πατέρων μου ἃς ἡμέρας παρῴκησαν. Philo has ἐξίκοντο for ἀφίκοντο, and omits the number of the years.

xlviii. 5. οἱ γενόμενοι (*De Mutat. Nomin.* § 16) ; LXX. + σοι.

ἐν Αἰγύπτῳ (*ibid.*), so LXX. Codd. BD ; ἐν γῇ Αἰγύπτῳ Cod. A, *Vat. Rom.*

εἰς Αἴγυπτον (*ibid.*) ; LXX. Codd. BA εἰς Αἴγυπτον πρός σε ; Codd. *D*[sil] *Vat. Rom.* πρός σε εἰς Αἴγυπτον.

Μανασσῆς (*ibid.*) ; LXX. Μανασσῆ (Μαννασσῆ A).

ὡς Ῥουβὶν καὶ Συμεὼν ἔσονταί μοι (*De Mutat. Nomin.* § 16, i. 593).

15 Ὁ δὲ Ἰακώβ, καὶ τὸν λόγον ὑπερκύψας, ὑπ' αὐτοῦ
φησι τρέφεσθαι τοῦ θεοῦ, λέγει δὲ οὕτως· Ὁ θεός, ᾧ
εὐηρέστησαν οἱ πατέρες μου, Ἀβραὰμ καὶ Ἰσαάκ, ὁ θεὸς ὁ
16 τρέφων με ἐκ νεότητος ἕως τῆς ἡμέρας ταύτης, ὁ ἄγγελος
ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν, εὐλογήσαι τὰ παιδία
ταῦτα (*Leg. Allegor.* iii. § 62, i. 122; *Quod deus immut.*
§ 34, i. 296; *De Profug.* § 13, i. 556).

Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ τὸ εἰρημένον ὑπὸ τοῦ τελειωθέντος ἐξ ἀσκήσεως, τόδε· Ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων κακῶν (*De Confus. Ling.* § 36, i. 432).

Τοιγάρτοι καὶ ὁ ἀσκητὴς εὐχόμενος τὸ αὐτὸν ἀποδηλώσει φάσκων· Ὁ θεός, ᾧ εὐηρέστησαν οἱ πατέρες μου, καὶ προστίθησιν· ἐνώπιον αὐτοῦ (*De Mutat. Nomin.* § 5, i. 584).

22 Διὸ καὶ ἐξαίρετον δίδωσι τῷ Ἰωσήφ, τὰ Σίκιμα, ὁ
Ἰακώβ, τὰ σωματικὰ καὶ αἰσθητικά, μετιόντι τὸν ἐν
τούτοις πόνον, τῷ δ' ἐξομολογουμένῳ Ἰούδᾳ, οὐχὶ δόσεις,
ἀλλὰ αἴνεσιν καὶ ὕμνους καὶ θεοπρεπεῖς ᾠδὰς πρὸς τῶν
ἀδελφῶν. Τὰ δὲ Σίκιμα ὁ Ἰακὼβ λαμβάνει, οὐ παρὰ

Ῥουβὶν (*De Mutat. Nomin.* § 16); LXX. Ῥουβὴν.

xlviii. 15. ἐνώπιον αὐτοῦ, expressly mentioned by Philo in *De Mutat. Nomin.* § 5, is omitted in *Leg. Allegor.* iii. § 62: LXX. Codd. B*D Vat. Rom.* ἐναντίον αὐτοῦ: Cod. A ἐνώπιον αὐτοῦ.

ὁ θεὸς ὁ τρέφ. (*Leg. Allegor.* iii. § 62), so LXX. Codd. AD, *Vat. Rom.*; ὁ κύριος Cod. B.

ἕως τῆς ἡμέρας (*ibid.*), as LXX.; but omitted in *De Conf. Ling.* § 36, *De Profug.* § 13.

TRINITY COLLEGE NEW LIBRARY

θεοῦ, ἀλλ' ἐν μαχαίρᾳ καὶ τόξοις, λόγοις τμητικοῖς καὶ ἀμυντηρίοις (*Leg. Allegor.* iii. § 8, i. 92).

xlix. 1 Τί δὲ Ἰσαάκ; Τί δὲ Ἰακώβ; *καὶ γὰρ οὗτοι διά τε πολλῶν ἄλλων καὶ μάλιστα διὰ τῶν εἰς τοὺς ἐγγόνους προσρήσεων ὁμολογοῦνται προφητεῦσαι· τὸ γάρ, Συλλέγητε ἵνα ἀναγγέλλω, τί ἀπαντήσει ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ἐνθουσιῶντος ἦν, ἡ γὰρ τῶν μελλόντων κατάληψις ἀνοίκειος ἀνθρώπῳ* (*Quis rerum div. heres*, § 52, i. 510).

15 ...*τοῦ δὲ ἐργαζομένου τὰ καλὰ* [*σύμβολον*] *ὁ* Ἰσσάχαρ, *ὑπέθηκε γὰρ τὸν ὦμον εἰς τὸ πονεῖν, καὶ ἐγένετο ἀνὴρ γεωργός* (*Leg. Allegor.* i. § 26, i. 59).

Ὡς *καὶ αὐτὸς ἑτέρωθι μέμνηται λέγων ἐπί τινος ἀθλητοῦ τοῦτον τὸν τρόπον·* Ὑπέθηκε *τὸν ὦμον εἰς τὸ πονεῖν, καὶ ἐγένετο ἀνὴρ γεωργός* (*De Migrat. Abrah.* § 39, i. 471).

Τοιοῦτον *ὄφιν εὔχεται ὁ* Ἰακὼβ *γενέσθαι τὸν* Δάν,
16 *καί φησιν οὕτως·* Δὰν *κρινεῖ τὸν ἑαυτοῦ λαόν, ὡσεὶ καὶ*
17 *μία φυλὴ* Ἰσραήλ, *καί·* Γενέσθω Δὰν *ὄφις ἐφ' ὁδοῦ,*
ἐγκαθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου. Καὶ
18 *πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω, τὴν σωτηρίαν περιμένων*

---

xlix. 1. Συλλέγητε (*Quis rerum div. heres*, § 52); LXX. *συνάχθητε*. *ἀναγγέλλω* (*ibid.*), LXX. Codd. BAF; *ἀναγγείλω* *Vat. Rom.*, Chrys.; *ἀπαγγείλω* Cod. *D*.

15. Philo differs from the LXX. by omitting *αὐτοῦ* after *ὦμον*, and reading *ἐγένετο* for *ἐγένηθη*. H. and P. are mistaken in saying that Philo has *αὐτοῦ* in i. 471.

16. *τὸν ἑαυτοῦ λαόν* (*Leg. Allegor.* ii. § 24), so LXX. Codd. B*D*, Chrys.; *τὸν λαὸν αὐτοῦ* Codd. AF, *Vat. Rom.*

φυλὴ Ἰσραήλ (*ibid.*), LXX. *φυλὴ ἐν* Ἰσραήλ.

17. Γενέσθω (*ibid.* and *De Agricult.* § 21); LXX. *γενηθήτω*. *ὀπίσω* (*ibid.*), so LXX. Codd. BA, *Vat. Rom.*; *ὀπίσθια* Codd. *DF*.

κυρίου (*Leg. Allegor.* ii. § 24, i. 83; *De Agricult.* § 21, i. 314).

22 Οἷς ἀκολουθεῖ καὶ τὸν Ἰωσὴφ νέον τε καὶ νεώτατον ἀεὶ λέγεσθαι·......καὶ ὅταν εὔχηται ὁ πατὴρ αὐτῷ, φησίν· Υἱὸς ηὐξημένος νεώτατος, πρός με ἀνάστρεψον (*De Sobriet.* §§ 3, 13, i. 394, 402).

33 Ὅ τε ἀσκητὴς τὸν αὐτὸν τρόπον Ἰακὼβ προστίθεται τῷ βελτίονι, ὅτε ἐξέλιπε τὸ χεῖρον (*De ss. Abelis et Caini*, § 2, i. 164).

l. 3 Τὸν ἑβδομηκοστὸν καὶ ἅγιον λόγον, ὃν Αἴγυπτος, ἡ μισάρετος καὶ φιλοπαθὴς φύσις, πενθοῦσα εἰσάγεται· ἑβδομήκοντα γὰρ ἡμέρας καταριθμεῖται παρ' αὐτοῖς τὸ πένθος (*De Migrat. Abrah.* § 36, i. 468).

7, 8 Τούτου τοῦ δόγματος ὁ πολιτευόμενός ἐστι τρόπος, ὃν Ἰωσὴφ ὀνομάζειν ἔθος, ᾧ συναπέρχονται μέλλοντι τὸν πατέρα κηδεύειν πάντες οἱ παῖδες Φαραώ, καὶ οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ, καὶ πάντες οἱ πρεσβύτεροι
8 τῆς Αἰγύπτου, καὶ πᾶσα ἡ πανοικία αὐτοῦ Ἰωσήφ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἡ οἰκία ἡ πατρικὴ αὐτοῦ (*ibid.* § 29, i. 461).

19 Τὸ ὁμολογεῖν, ὅτι τοῦ θεοῦ ἐστι (*ibid.* § 4, i. 439).

Τοῦ θεοῦ εἰμι (*ibid.* § 29, i. 461).

Ὁ παθὼν ἀκριβῶς ἔμαθεν, ὅτι τοῦ θεοῦ ἐστιν (*De Somn.* ii. § 15, i. 673; *De Josepho*, § 43, ii. 78).

24, 25 Τὰ γοῦν ὀστᾶ Ἰωσήφ, λέγω δὴ τὰ μόνα ὑπολειφθέντα

---

22. LXX. υἱὸς ηὐξημένος μου ζηλωτός, υἱός μου νεώτατος· πρός με ἀνάστρεψον.

l. 7. τῆς Αἰγύπτου (*De Migrat. Abrah.* § 29), so LXX. Cod. A; LXX. Cod. B *Vat. Rom.* τῆς γῆς Αἰγύπτου: γῆς Αἰγύπτου Codd. *D* (F?).

8. ἡ πανοικία αὐτοῦ Ἰωσήφ (*ibid.*): om. αὐτοῦ LXX.

τῆς τοιαύτης ψυχῆς ἀδιάφθορα καὶ ἀξιομνημόνευτα εἴδη, περιποιεῖται ὁ ἱερὸς λόγος, ἄτοπον ἡγούμενος καθαρὰ μὴ καθαροῖς συνεζεῦχθαι. Τὰ δὲ ἀξιομνημόνευτα ταῦτα ἦν· τὸ πιστεῦσαι ὅτι ἐπισκέψεται ὁ θεὸς τὸ ὁρατικὸν γένος, καὶ οὐ παραδώσει μέχρι παντὸς αὐτὸ ἀμαθίᾳ, τυφλῇ δεσποίνῃ (*De Migrat. Abrah.* § 4, i. 439).

---

25. ἐπισκέψεται ὁ θεὸς (*De Migrat. Abrah.* § 4). Philo's words possibly favour the reading of LXX. Codd. BA ἐπισκέψεται against ἐπισκέψηται Cod. *D*[sil], *Vat. Rom.*

EXODUS.

i. 5 Λέγεται γάρ, ὅτι ἦσαν αἱ πᾶσαι ψυχαὶ ἐξ Ἰακὼβ πέντε καὶ ἑβδομήκοντα (*De Migrat. Abrah.* § 37, i. 467).

8 Οὗτοί εἰσιν οἱ μηδὲ τὸν Ἰωσὴφ εἰδότες, τὸν ποικίλον τοῦ βίου τύφον...Ἀνέστη γάρ, φησί, βασιλεὺς ἕτερος ἐπ' Αἴγυπτον ὃς οὐδὲ τὸ πανύστατον καὶ νεώτατον αἰσθητὸν ἀγαθὸν ᾔδει τὸν Ἰωσήφ (*De Confus. Ling.* § 16, i. 415).

9 Ἰδοὺ γάρ, φησί, τὸ γένος τῶν υἱῶν Ἰσραὴλ μέγα πλῆθος (*De Migrat. Abr.* § 10, i. 444).

11 Κακωθέντες ὑπὸ τῶν ἐπιστατῶν, τῷ βασιλεῖ τῆς

---

i. 5. πέντε καὶ ἑβδομήκοντα (*De Migrat. Abrah.* § 37): so LXX. and Acts vii. 15. But the Hebrew text gives the number as *seventy*. In Josephus *Ant. Jud.* ii. 4, two of the best MSS. favour the LXX., the rest support the Hebrew reading. Niese reads, ἦσαν δ' οἱ πάντες [πέντε καὶ] ἑβδομήκοντα. In favour of the Hebrew text is Ezech. Tragoed. 1 (*ap.* Euseb. *Praep. Evang.* ix. 28) Ἀφ' οὗ δ' Ἰακὼβ γῆν λιπὼν Χαναναίαν κατῆλθ' ἔχων Αἴγυπτον ἑπτάκις δέκα ψυχὰς σὺν αὐτῷ, cf. Jerome, *Quaestt. in Gen. Hebr.* Ex quo manifestum est omnes animas quae ingressae sunt Ægyptum de femoribus Jacob fuisse septuaginta; dum sexaginta sex postea ingressae sunt, et repererunt in Aegypto tres animas, Joseph scilicet cum duobus filiis ejus, septuagesimus autem ipse fuerit Jacob.

*χώρας τρεῖς πόλεις οἰκοδομοῦσι, *Πυθώ*, Ῥαμεσσή, Ὤν, ἥ ἐστιν Ἡλιουπόλις* (*De Posterit. Caini* § 16, i. 236).

Κατηνάγκασαν πλινθουργεῖν, καὶ πόλεις οἰκοδομεῖν ὀχυρὰς τῷ βασιλεύειν δοκοῦντι νῷ (*De Confus. Ling.* § 20, i. 418).

Ὠκοδόμησαν πόλεις ὀχυρὰς τῷ Φαραώ, τήν τε Πείθω, τὸν λόγον ᾧ τὸ πείθειν ἀνάκειται, καὶ Ῥαμεσήν, τὴν αἴσθησιν...καὶ τὴν Ὤν, τὸν νοῦν...ἣν Ἡλίου πόλιν ὠνόμασαν (*De Somn.* i. § 14, i. 632).

15 *Ταύτας μοι δοκεῖ τὰς ἀρετὰς Μωϋσῆς αἰνιξάμενος μαίας Ἑβραίων ὠνόμασε, Σεπφώραν τε καὶ Φουάν· ἡ μὲν γὰρ ὀρνίθιον, Φούα δὲ ἐρυθρὸν ἑρμηνεύεται* (*Quis rer. div. heres* § 26, i. 491).

19 *Ἔτεκον γὰρ υἱόν, οὐχ ὡς γυναῖκες Αἰγύπτιαι κατὰ τὴν τοῦ σώματος ἀκμήν, ἀλλ' ὡς αἱ Ἑβραῖαι ψυχαί...Καὶ ἔτεκον μαιευτικῆς τέχνης οὐ προσδεηθεῖσα· τίκτομεν γὰρ καὶ πρὶν εἰσελθεῖν τινας ἐπινοίας καὶ ἐπιστήμας ἀνθρώπων πρὸς ἡμᾶς* (*De Migrat. Abr.* § 25, i. 458).

Ἢ ἀγνοεῖς ὅτι οὐ δέονται πρὸς τὸν τόκον μαιῶν Ἑβραῖαι; Τίκτουσι δέ, ὥς φησι Μωυσῆς, πρὶν εἰσελθεῖν τὰς μαίας (*De Profug.* § 30, i. 571).

20 *Τὰς μαίας εὖ ποιεῖ ὁ θεός, ὅτι τῶν προστάξεων τοῦ*

---

11. Ῥαμεσήν (*De Somn.* i. § 14); Ῥαμεσσή (*De Posterit. Caini*, § 16), as LXX. Codd. BA, *Vat. Rom.*; Ῥαμεσή Cod. F.

Πύθω. But, as Mangey says in his note, "Scribendum Πείθω." For Philo derives the name from τὸ πείθειν: Αὗται δὲ τροπικώτερον, νοῦν, αἴσθησιν, λόγον, τὰ περὶ ἡμᾶς ὄντα δηλοῦσιν· ἡ μὲν γὰρ Πύθω, ὁ λόγος ἐστίν· ὅτι περὶ τοῦτον τὸ πείθειν, ἔχει δὲ ἑρμηνείαν, στόμα ἐκθλίβον. LXX. Cod. B *Vat. Rom.* Πείθω : Πίθωμ Codd. AF (-ωθ).

19. LXX. οὐχ ὡς γυναῖκες Αἰγύπτου.

(17, 18) σκεδαστοῦ Φαραὼ ἠλόγουν, τὰ ἄρρενα τῆς ψυχῆς ζωογονοῦσαι (*Leg. Allegor.* iii. 87, i. 135).

21 Παρ' ὃ καὶ αἱ μαῖαι, ἐπειδὴ ἐφοβοῦντο τὸν θεόν, ἐποίησαν ἑαυταῖς οἰκίας. αἱ γὰρ ζητητικαὶ τῶν ἀφανῶν θεοῦ μυστηρίων, ὅπερ ἐστὶ ζωογονεῖν τὰ ἄρσενα, οἰκοδομοῦσι τὰ ἀρετῆς πράγματα, οἷς καὶ ἐνοικεῖν προῄρηνται (*Leg. Allegor.* iii. § 1, i. 88).

Ἐπειδὰν γάρ, φησίν, ἐφοβοῦντο αἱ μαῖαι τὸν θεόν, ἐποίησαν ἑαυταῖς οἰκίας (*De Migrat. Abr.* § 38, i. 470).

ii. 1 f. Ἦν γάρ τις, φησίν, ἐκ τῆς φυλῆς Λευὶ *Ἀμράμ,* ὃς ἔλαβε τῶν θυγατέρων τῶν Λευί, καὶ ἔσχηκεν αὐτήν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν ἄρρεν. Ἰδόντες δὲ αὐτὸ ἀστεῖον ὄν, ἐσκέπασαν αὐτὸ μῆνας τρεῖς (*De Congr. Erud. grat.* § 24, i. 538).

2 Ὁ μὲν γὰρ ἀστεῖος ἀπὸ γενέσεως ἀρχῆς φυτευθεὶς καὶ προσαγορευθεὶς τρόπος, ὄνομα Μωϋσῆς, ὁ τὸν κόσμον ὡς ἄστυ καὶ πατρίδα οἰκήσας, ἅτε κοσμοπολίτης γενόμενος

---

21. ἐπειδὴ (*Leg. Allegor.* iii. § 1), so LXX. Codd. B*AF; ἐπειδὰν (*De Migrat. Abrah.* § 38); ἐπεὶ δὲ LXX. Cod. $B^{a?\,b?}$, *Vat. Rom.*

ἐποίησαν ἑαυταῖς: Philo as LXX. Codd. BF, *Vat. Rom.*; Cod. A ἑαυτοῖς.

ii. 1. Λευὶ (*De Congr. Erud. grat.* § 24), so LXX. Codd. AF, *Vat. Rom.*; Λευεί LXX. Cod. B. Philo probably added, after Λευί, the name Ἀμράμ, which does not appear in the LXX. or in the Hebr. On the reading of some MSS. Ἀβραάμ, Mangey says, "Deest in nonnullis Codicibus et in Textu Sacro...Reponendum vero Ἀμράμ."

τῶν Λευί: om. τῶν LXX.: Philo's reading is found in Codd. 19, 118 (64 marg.), acc. to H. and P.

2. καὶ ἔσχηκεν αὐτήν, LXX. Codd. AF καὶ ἔσχεν αὐτὴν; om. Cod. B, *Vat. Rom.*

ἀστεῖον ὄν (*ibid.*). Omit ὄν LXX. generally; but insert ὄν some cursives (H. and P.).

3 *ἐνδεθείς ποτε τῷ ἐπαληλιμμένῳ ὡς ἐν ἀσφάλτῳ πίσσῃ σώματι, καὶ δοκοῦντι τὰς πάντων ὑποκειμένων ἐν αἰσθήσει φαντασίας, ἀσφαλῶς ἐνδέχεσθαί τε καὶ κεχωρηκέναι,*
6 *κατακλαίει μὲν τὴν ἔνδεσιν, ἀσωμάτου φύσεως πιεσθεὶς ἔρωτι· κατακλαίει δὲ καὶ τὸν πλάνητα καὶ τετυφωμένον τῶν πολλῶν ἄθλιον νοῦν* (*De Confus. Ling.* § 22, i. 420).

4 *Ἀδελφὴ δὲ τοῦ ἐκτεθέντος βρέφους, ἔτι παρθένος, ὑπὸ φιλοικείου πάθους μικρὸν ἄποθεν ἐκαραδόκει τὸ ἀποβησόμενον* (*De Vita Mosis* i. § 4, ii. 82).

10 *Εἶτα δίδωσιν ὄνομα, θεμένη* Μωσῆν *ἐτύμως διὰ τὸ ἐκ τοῦ ὕδατος αὐτὸν ἀνελέσθαι· τὸ γὰρ ὕδωρ μῶς ὀνομάζουσιν* Αἰγύπτιοι (*ibid.*).

11, 12 Μαρτυρεῖ Μωϋσῆς *ὁ πατάξας τὸν* Αἰγύπτιον, *καὶ κρύψας ἐν τῇ ἄμμῳ...*Κατανοήσας *γὰρ τὸν πόνον τοῦ τὸν θεὸν ὁρῶντος, ὃν ἐπιτίθησιν αὐτῷ ὁ βασιλεὺς τῆς* Αἰγύπτου, *ἡ τῶν παθῶν ἡγεμονὶς κακία, ὁρᾷ τὸν* Αἰγύπτιον *ἄνθρωπον, τὸ ἀνθρωπεῖον καὶ ἐπίκαιρον πάθος, τύπτον καὶ αἰκιζόμενον τὸν ὁρῶντα.* Περιβλεψάμενος *δὲ τὴν ὅλην ψυχὴν ὧδε κἀκεῖσε, καὶ μηδένα ἰδὼν ἑστῶτα, ὅτι μὴ τὸν ὄντα θεόν, τὰ δὲ ἄλλα κλονούμενα καὶ σαλευόμενα, πατάξας καὶ συλλογισάμενος τὴν φιλήδονον, κρύπτει ἐν τῷ σποράδι καὶ πεφορημένῳ νῷ, ὃς συμφυίας καὶ γνώσεως τῆς πρὸς τὸ καλὸν ἐστέρηται* (*Leg. Allegor.* iii. § 12, i. 94).

---

3. *ἀσφάλτῳ πίσσῃ* (*De Confus. Ling.* § 22), so LXX. Cod. B[a? b?]: *ἀσφαλτωπίσσῃ* is found in 5 cursives (H. and P.); *ἀσφάλτῳ καὶ πίσσῃ* in 2 others, as well as in "Compl. Copt. Slav. Mosq. Georg." (H. and P.); *ἀσφαλτοπίσσῃ* Cod. B*, *Vat. Rom.*

6. *κατακλαίει* (*ibid.*), LXX. *κλαῖον*.

12. *κρύπτει ἐν τῷ σποράδι κ.τ.λ.* (*Leg. Allegor.* iii. § 12); *κατέχωσεν ἄμμῳ* (*De Profug.* § 26); LXX. *ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ.*

12 Πατάξας γὰρ αὐτὸν οὐσίᾳ σποράδι κατέχωσεν, ἄμμῳ (*De Profug.* § 26, i. 567).

15 Φαραώ, ζητῶν ἀνελεῖν Μωσῆν, τὸ προφητικὸν γένος, οὐδέποτε εὑρήσει (*ibid.*).

Ἀνεχώρησε γάρ, φησί, Μωϋσῆς ἀπὸ προσώπου Φαραώ, καὶ κατῴκησεν ἐν γῇ Μαδιάμ, τῇ κρίσει τῆς φύσεως πραγμάτων, καὶ ἐκάθισεν ἐπὶ τοῦ φρέατος, ἐκδεχόμενος τί ὁ θεὸς ἀνομβρήσει πότιμον τῇ διψώσῃ καὶ ποθούσῃ ψυχῇ τὸ ἀγαθόν (*Leg. Allegor.* iii. § 4, i. 89).

16 ff. Τῷ ἱερεῖ, φησὶν οὖν, τῆς κρίσεως καὶ τῆς δίκης εἰσὶν ἑπτὰ θυγατέρες, συμβολικῶς αἱ τοῦ ἀλόγου δυνάμεις, γονή τε καὶ φωνή, καὶ πέντε αἰσθήσεις, ποιμαίνουσαι τὰ πρόβατα τοῦ πατρός....Παραγενόμεναι δὲ ἐπὶ τὰ οἰκεῖα ἑκάστη, χρώματα μὲν καὶ σχήματα ὅρασις, φωνὰς δὲ ἀκοή, ἀτμοὺς δὲ ὄσφρησις, χυλοὺς δὲ γεῦσις, καὶ αἱ ἄλλαι πρὸς τὰ ἁρμόττοντα ἑαυταῖς, ἀντλοῦσι τρόπον τινὰ τὰ ἐκτὸς αἰσθητά, ἕως ἂν πληρώσωσι τὰς τῆς ψυχῆς δεξαμενάς, ἐξ ὧν *ποτίζουσι* τὰ πρόβατα τοῦ

17 πατρός....Παραγενόμενοι δὲ οἱ φθόνου καὶ βασκανίας ἑταῖροι, πονηρᾶς ἀγέλης ἡγεμόνες, ἐλαύνουσιν αὐτάς·... μέχρις ἀναστὰς ὁ τέως ἠρεμεῖν τρόπος δοκῶν φιλάρετος

---

15. κατῴκησεν ἐν γῇ Μαδιάμ (*Leg. Allegor.* iii. § 4), so LXX. Codd. AF; ᾤκησεν ἐν γῇ Μαδιάμ Cod. B, *Vat. Rom.*

16. *ποτίζουσι* (*De Mutat. Nomin.* § 19). Mangey's text has πίνουσι. His note is, "Scribe ποτίζουσι, tum ex sensu, tum Textu Biblico."

τὰ πρόβατα τοῦ πατρός 2° (*ibid.*); LXX. Codd. BA$^{a?}$ *Vat. Rom.* τοῦ πατρὸς αὐτῶν Ἰοθόρ; Codd. A*F τοῦ πατρὸς αὐτῶν. But it is clear that Philo had the reading τοῦ πατρὸς αὐτῶν Ἰοθόρ, because, when paraphrasing ver. 18, he uses the words οὐκέτι πρὸς Ἰοθόρ ἀλλὰ πρὸς Ῥαγουὴλ ἀφικνοῦνται.

καὶ ἐπιθειάσας, ὄνομα Μωσῆς, ὑπερασπίσει καὶ ῥύσεται
αὐτὰ τῶν κατεχόντων, ποτίμοις λόγοις θρέψας τὴν τοῦ
πατρὸς ποίμνην. Ἐκφυγοῦσαι δέ,...οὐκέτι πρὸς Ἰοθόρ,
18 ἀλλὰ πρὸς Ῥαγουὴλ ἀφικνοῦνται (*De Mutat. Nomin.*
§ 19, i. 595).

Ἑρμηνεύεται γὰρ Ῥαγουὴλ ποιμασία θεοῦ...ἡ γὰρ
προσηγορία τῆς Μαδιὰμ μεταληφθεῖσα ἐκ κρίσεως ὀνομά-
ζεται (*ibid.* §§ 17, 18, i. 594).

Πεύσεται οὖν εἰκότως ὁ ποιμένι βασιλεῖ χρώμενος τῷ
θείῳ λόγῳ νοῦς, τῶν ἑπτὰ θυγατέρων, Διὰ τί συντείνασαι
19 μετὰ πολλοῦ τάχους τήμερον ἀφίχθε;...Φήσουσιν οὖν,
ὅτι...ὁ ῥυσάμενος αὐτὰς ἄνθρωπος ἀπὸ τῶν τῆς ἀγρίας
ἀγέλης ποιμένων—Αἰγύπτιον δὲ καλοῦσι Μωϋσῆν...Οὗ
χάριν ἀμφότερα τιθέασι, διὰ μὲν τοῦ ἄνθρωπος τὰ
μόνῳ λόγῳ θεωρητὰ μηνύουσαι, διὰ δὲ τοῦ Αἰγύπτιος
παριστᾶσαι τὰ αἰσθητά. Ταῦτ' ἀκούσας καὶ πάλιν
20 πεύσεται, Ποῦ ἐστιν ὁ ἄνθρωπος; ἐν τίνι μέρει
τῶν καθ' ὑμᾶς οἰκεῖον τὸ λογικὸν εἶδος; ἵνα τί
αὐτὸν ῥᾳδίως οὕτω καταλελοίπατε, ἀλλ' οὐχ, ἅπαξ
ἐντυχοῦσαι, περιέσχετε κτῆμα κάλλιστον καὶ λυσιτελέ-
στατον ἑαυταῖς; Ἀλλ', εἰ μὴ πρότερον, νῦν αὐτὸν
καλέσατε, ὅπως ἂν φάγῃ καὶ τραφῇ ταῖς ὑμετέραις
βελτιώσεσι καὶ πρὸς αὐτὸν οἰκειώσεσι. Τάχα γὰρ καὶ
οἰκήσει παρ' ἡμῖν, καὶ τὸ πτηνὸν καὶ τὸ θεοφόρητον
21 καὶ προφητικὸν γένος, ὄνομα Σεπφώραν, ἄξεται (*ibid.*
§ 20, i. 596).

---

20. Ποῦ ἐστιν ὁ ἄνθρωπος; (*De Mutat. Nomin.* § 20), LXX. καὶ ποῦ ἐστιν; Philo's ὁ ἄνθρωπος is added in Codd. 72, 128 (H. and P.).

οὕτω (*ibid.*); οὕτως LXX. Codd. B[ab]AF; om. Cod. B, *Vat. Rom.*

Μωϋσεῖ δὲ ὁ ἄνθρωπος παρ' ᾧ κατῴκησε τὴν θυγατέρα Σεπφώραν ἐκδίδοται (*De Posterit. Caini*, § 22, i. 239).

22 Μωϋσῆς δέ, Γειώρας, φησίν, εἰμὶ ἐν γῇ ἀλλοτρίᾳ (*De Confus. Ling.* § 17, i. 417).

23 Μετὰ γὰρ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς τῆς Αἰγύπτου. εἶτ' εὐθὺς ἀποθανούσης κακίας, στενάζει ὁ ὁρῶν τὸν θεὸν καὶ τὴν ἑαυτοῦ τροπήν, κατεστέναξαν γὰρ οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν σωματικῶν καὶ Αἰγυπτιακῶν ἔργων (*Leg. Allegor.* iii. § 75, i. 129).

Μετὰ γὰρ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου, καὶ κατεστέναξαν οἱ υἱοὶ Ἰσραήλ (*Quod det. pot. insid.* § 25, i. 209).

Λέγεται γὰρ ὑγιῶς, ὅτι κατεστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων (*De Confus. Ling.* § 20, i. 418).

Λέγεται γάρ, ὅτι ἐστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων (*De Migrat. Abr.* § 3, i. 438).

Ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν θεόν (*Leg. Allegor.* iii. § 76, i. 130).

Ὅταν ἐπὶ τοῖς Αἰγυπτίοις ἔργοις καὶ πάθεσι στενάζοντες ἀψευδῶς καὶ ἀπλάστως ἐκβοῶσι· τότε γὰρ

---

21. *Μωϋσεῖ*. Mangey's text has Μωϋσῆς. His note is, "Ex contextu scribendum Μωϋσεῖ."

22. Γειώρας (*De Confus. Ling.* § 17), LXX. πάροικος. Philo's argument in the previous sentence turns upon the distinction between παροικεῖν and κατοικεῖν: πρὸς τὸ δεῖξαι ὅτι παροικεῖ μὲν ὁ σοφὸς ὡς ἐν ξένῃ σώματι αἰσθητῷ, κατοικεῖ δ' ὡς ἐν πατρίδι, νοηταῖς ἀρεταῖς. He was therefore familiar with the reading πάροικος.

23. κατεστέναξαν (*Leg. Allegor.* iii. § 75: *Quod det. pot. insid.* § 25: *De Confus. Ling.* § 20); so LXX.

The reading ἐστέναξαν (*De Migrat. Abr.* § 3, cf. *Quod det. pot. insid.* § 25) is found also in quotations by Theodoret, i. 1182, 1523.

ἀναβαίνειν, φησὶ Μωϋσῆς, *τοὺς λόγους αὐτῶν πρὸς τὸν θεόν* (*Quod det. potior. insid.* § 25, i. 209).

iii. 1 *Λέγεται γὰρ ὅτι* Μωσῆς *ἦν ποιμαίνων τὰ πρόβατα* Ἰοθὸρ *τοῦ ἱερέως* Μαδιάμ (*De Agricult.* § 10, i. 307).

Ἦγε *γὰρ τὰ πρόβατα ὑπὸ τὴν ἔρημον* (*De ss. Abelis et Caini*, § 12, i. 171).

2 Καὶ *ἐκβοᾷ φάσκων, ὅτι ὁ βάτος καίεται καὶ οὐ κατακαίεται* (*De Profug.* § 29, i. 570).

4 Τοῦτον *τὸν τρόπον ἐπὶ τῆς βάτου* Μωϋσῆς *ἀνακαλεῖται·* Ὡς *γὰρ εἶδε, φησίν, ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν ὁ θεὸς ἐκ τῆς βάτου, λέγων·* Μωϋσῆ, Μωϋσῆ! *ὁ δὲ εἶπε·* Τί *ἐστιν;* (*De Somn.* i. § 34, i. 650).

5 Ἐπικουφίζεται *ἐλέῳ καὶ προμηθείᾳ τοῦ πάντων σωτῆρος θεοῦ, ὃς ἔχρησεν ἐκ τῶν ἀδύτων,* Μὴ *ἐγγίσῃς ὧδε...ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας, φησίν, ἅγιός ἐστι* (*De Profug.* § 29, i. 570).

6 Μωσῆς *ἀπέστρεψε τὸ πρόσωπον, εὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον τοῦ θεοῦ* (*ibid.* § 25, i. 566).

9 Ἰδοὺ *κραυγὴ τῶν υἱῶν* Ἰσραὴλ *ἥκει πρός με* (*Leg. Allegor.* iii. § 76, i. 130).

12 Ἔσομαι *μετά σου* (*De Profug.* § 25, i. 566).

14 Ἐπεὶ *καὶ ὁ θεὸς μόνος ἐν τῷ εἶναι ὑφέστηκεν, οὗ χάριν ἀναγκαίως ἐρεῖ περὶ αὐτοῦ·* Ἐγώ *εἰμι ὁ ὤν· ὡς τῶν μετ' αὐτὸν οὐκ ὄντων κατὰ τὸ εἶναι, δόξῃ δὲ μόνον ὑφεστάναι νομιζομένων* (*Quod det. pot. insid.* § 44, i. 222).

---

iii. 1. Ἦγε (*De ss. Abelis et Caini*, § 12), so LXX. Codd. AF; *ἤγαγεν* Cod. B, *Vat. Rom.* (*ἤγαγε*).

4. *ὁ θεὸς ἐκ τῆς βάτου* (*De Somn.* i. § 34), LXX. *ὁ κύριος ἐκ τοῦ βάτου.* The Hebr. has אלהים; but no other LXX. authority except Philo gives *ὁ θεός*.

5. *ἅγιος* (*De Profug.* § 29), LXX. *γῆ ἁγία.*

Μαρτυρεῖ δὲ καὶ τὸ θεσπισθὲν λόγιον τῷ πυνθανομένῳ, εἰ ἔστι ὄνομα αὐτῷ, ὅτι Ἐγώ εἰμι ὁ ὤν· ἵνα ὧν ἀδύνατον ἀνθρώπῳ καταλαβεῖν μὴ ὄντων περὶ θεόν, ἐπιγνῷ τὴν ὕπαρξιν (*De Somn.* i. § 40, i. 655).

15 Τοῦτο γάρ μου, φησίν, ὄνομά ἐστιν αἰώνιον, θεὸς Ἀβραάμ, καὶ θεὸς Ἰσαάκ, καὶ θεὸς Ἰακώβ (*De Abrah.* § 10, ii. 8).

Ὁ δὲ οὐκ ἀγνοῶν ἐπὶ τοῖς λεγομένοις ἀπιστήσοντας τούς τε ὁμοφύλους καὶ τοὺς ἄλλους ἅπαντας· Ἐὰν οὖν, φησί, πυνθάνωνται, τί τὸ ὄνομα τοῦ πέμψαντος, μηδὲ αὐτὸς εἰπεῖν ἔχω, ἆρ' οὐ δόξω διαπατᾷν; Ὁ δέ, Τὸ μὲν πρῶτον λέγε, φησίν, αὐτοῖς, Ἐγώ εἰμι ὁ ὤν· ἵνα μαθόντες διαφορὰν ὄντος τε καὶ μὴ ὄντος προσαναδιδαχθῶσιν, ὡς οὐδὲν ὄνομα ἐπ' ἐμοῦ τὸ παράπαν κυριολογεῖται, ᾧ μόνον πρόσεστι τὸ εἶναι. Ἐὰν δ' ἀσθενέστεροι τὰς φύσεις ὄντες ἐπιζητῶσι πρόσρησιν, δήλωσον αὐτοῖς, μὴ μόνον τοῦθ' ὅτι θεός εἰμι, ἀλλ' ὅτι καὶ τριῶν τῶν ἐπωνύμων ἀνδρῶν ἀρετῆς, θεὸς Ἀβραάμ, καὶ θεὸς Ἰσαάκ, καὶ θεὸς Ἰακώβ· ὧν ὁ μὲν τῆς διδακτῆς, ὁ δὲ τῆς φυσικῆς, ὁ δὲ τῆς ἀσκητικῆς σοφίας κανών ἐστιν (*De Vita Mosis*, i. § 14, ii. 93).

iv. 1 Ἐὰν οὖν μὴ πιστεύσωσί μοι, μηδὲ εἰσακούσωσι τῆς
φωνῆς μου—ἐροῦσι γάρ, Οὐκ ὦπταί σοι ὁ θεός—τί ἐρῶ
2 πρὸς αὐτούς; καὶ εἶπε κύριος Μωσεῖ· Τί τοῦτ' ἔστι τὸ
3 ἐν τῇ χειρί σου; Ὁ δὲ εἶπε· Ῥάβδος. Καὶ εἶπε· Ῥίψον
αὐτὴν ἐπὶ τὴν γῆν. Καὶ ἔρριψεν αὐτὴν ἐπὶ τὴν γῆν, καὶ

---

15. Τοῦτό μου...ὄνομά ἐστιν αἰώνιον (*De Abrah.* § 10), LXX. τοῦτό μού ἐστιν ὄνομα αἰώνιον.

iv. 1. Ἐὰν οὖν (*Leg. Allegor.* ii. § 22), so LXX. Cod. AF; om. οὖν Cod. B, *Vat. Rom.*

ὁ θεὸς (*ibid.*), so LXX. Codd. BF, *Vat. Rom.*; κύριος ὁ θεὸς Cod. A.

2. καὶ εἶπε...Μωσεῖ (*ibid.*), LXX. εἶπεν δὲ αὐτῷ.

4 ἐγένετο ὄφις, καὶ ἔφυγε Μωϋσῆς ἀπ᾽ αὐτοῦ. Καὶ εἶπε
Κύριος Μωσεῖ· Ἔκτεινον τὴν χεῖρά σου, καὶ ἐπιλαβοῦ
τῆς κέρκου. Ἐκτείνας οὖν τὴν χεῖρα ἐπελάβετο τῆς
5 κέρκου, καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρί. Καὶ εἶπεν αὐτῷ·
Ἵνα πιστεύσωσί σοι (*Leg. Allegor.* ii. § 22, i. 82).

3 Ἀποχωρήσας δὲ ἀπὸ τοῦ ζῴου καὶ διὰ δέος ἤδη πρὸς φυγὴν ὁρμῶν μετακαλεῖται, καὶ θεοῦ προστάξαντος ἅμα τε θάρσος ἐμποιήσαντος ἐπιδράττεται τῆς οὐρᾶς (*De Vita Mosis*, i. § 14, ii. 93).

10 Ἀλλὰ γὰρ οὐ τὰ εἰκότα καὶ πιθανὰ Μωϋσῆς ἀσπάζεται, τὴν δὲ ἀληθείαν ἀκραιφνῆ μεταδιώκει· καὶ ὅταν γε μόνος ἰδίᾳ τῷ θεῷ προσέρχηται, μετὰ παρρησίας φησί, μὴ εἶναι εὔλογος—ἴσον τῷ· μὴ τῶν εὐλόγων καὶ πιθανῶν ἐφίεσθαι—πεπονθέναι δὲ τοῦτο πρὸ τῆς χθὲς ἢ τρίτης, ἀφ᾽ οὗ τὸν θεὸν ἄρξασθαι διαλέγεσθαι, ὡς θεράποντι, αὐτῷ (*De ss. Abelis et Caini*, § 4, i. 166).

...φάσκων τὸ μὴ εἶναι εὔλογος, ἴσον τῷ μήτε πεφυκέναι πρὸς τὴν τῶν *λόγων* καὶ πιθανῶν εἰκαστικὴν ῥητορείαν (*Quod det. pot. insid.* § 12, i. 199).

Ἐπιστομίζουσι γὰρ ὡς αἱ σφοδραὶ λῦπαι καὶ ὑπερβάλλουσαι χαραί· διὸ καὶ Μωϋσῆς ἰσχνόφωνος καὶ

---

4. Ἐκτείνας οὖν (*ibid.*), so LXX. Cod. BA, *Vat. Rom.*; καὶ ἐκτείνας LXX. Cod. F.

κέρκου (*ibid.*), τῆς οὐρᾶς *De Vita Mosis*, i. § 14. Mr H. St J. Thackeray calls attention to the use of οὐρά, and not κερκός, in Ezek. Tragoed. χεῖρα δ᾽ ἐκτείνας λαβὲ οὐράν. Possibly οὐρᾶς was found in an early rendering.

5. Philo inserts Καὶ εἶπεν αὐτῷ, as also LXX. Codd. "83, 128, Ald. Aug. Slav. Ostrog." (H. and P.).

λόγων (*Quod det. pot. insid.* § 12). "Omnino scribe εὐλόγων" (Mangey).

βραδύγλωσσος ὁμολογεῖ γενέσθαι, ἀφ' οὗ ἤρξατο ὁ θεὸς αὐτῷ διαλέγεσθαι (*Quis rerum div. heres*, § 1, i. 473).

Πιστεύων δ' ὅμως παρῃτεῖτο τὴν χειροτονίαν, ἰσχνόφωνον, καὶ βραδύγλωσσον, οὐκ εὔλογον αὐτὸν εἶναι φάσκων· καὶ μάλιστα ἀφ' οὗ λέγοντος ἤκουε θεοῦ (*De Vita Mosis*, § ii. 93).

12 *Ἐγὼ ἀνοίξω τὸ στόμα σου, καὶ συμβιβάσω σε ἃ μέλλεις λαλήσειν* (*Quis rerum div. heres*, § 6, i. 476).

Δηλώσει δ' ὁ τῷ πανσόφῳ Μωσεῖ δοθεὶς χρησμός, ἐν ᾧ περιέχεται ταῦτα·

14 *Οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου, ὁ Λευίτης; ἐπίσταμαι, ὅτι λαλήσει αὐτός σοι. καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι, καὶ ἰδών σε χαρήσεται ἐν ἑαυτῷ* (*Quod det. pot. insid.* § 34, i. 215; cf. § 37, i. 217).

Ἰδὼν γάρ σε, φησί, χαρήσεται ἐν αὐτῷ (*De Mutat. Nomin.* § 31, i. 603).

Οὐκ ἰδού, φησίν, Ἀαρὼν ὁ ἀδελφός σου...ἐπίσταμαι

---

10. οὐκ εὔλογος, Philo expressly; and so LXX. Cod. F, and, acc. to H. and P., Cod. X (=Coislin.), and 18 cursives (H. and P.). Codd. BA, *Vat. Rom.* οὐχ ἱκανός εἰμι πρὸ τῆς ἐχθὲς (χθὲς *Vat. Rom.*) οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας ἀφ' οὗ ἤρξω λαλεῖν τῷ θεράποντί σου. Philo's reading, εὔλογος, is also found in Ezek. Tragoed., l. 113, οὐκ εὔλογος πέφυκα. Mr H. St J. Thackeray points out that "the use of εὔλογος (usu.='plausible') for 'a man of words' [איש דברים] is unparalleled." This is probably an instance where Philo has preserved an early, or original, rendering, the strangeness of which led to the substitution of the variants ἱκανὸς and εὔλαλος.

12. ἃ μέλλεις (*Quis rerum div. heres*, § 6), so LXX. Codd. AF and many cursives. Cod. B, *Vat. Rom.* ὃ μέλλεις.

λαλήσειν (*ibid.*); LXX. λαλῆσαι.

14. Λευίτης (*Quod det. pot. insid.* § 34), as LXX. Codd. AF, *Vat. Rom.*; Cod. B Λευείτης.

ὅτι λαλήσει...Λαλήσει, φησίν, αὐτός σοι...ἰδοὺ αὐτὸς
ἐξελεύσεται εἰς συνάντησίν σου...καὶ ἰδών σε χαρήσεται
15 *ἐν αὐτῷ....Καὶ ἐρεῖς πρὸς αὐτὸν καὶ δώσεις τὰ ῥήματά*
16 *μου εἰς τὸ στόμα αὐτοῦ...καὶ αὐτός σοι προσλαλήσει*
πρὸς τὸν λαὸν καὶ αὐτὸς ἔσται σου στόμα· σὺ δὲ αὐτῷ
ἔσῃ τὰ πρὸς τὸν θεόν (*De Migrat. Abrah.* §§ 14, 15, i. 448).
22 *Παρ' ὃ καὶ τὸν Ἰσραὴλ νεώτερον ὄντα χρόνῳ πρωτόγο-*
νον υἱὸν ἀξιώματι καλεῖ (*De Posterit. Caini*, § 17, i. 237).
v. 2 *Τίς ἐστιν οὗ ὑπακούσομαι ;...οὐκ οἶδα τὸν κύριον* (*De*
Ebriet. § 6, i. 360).

Οὐκ οἶδα τὸν κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστέλλω (*ibid.* § 19, i. 368).

Οὐκ οἶδα τὸν κύριον (*De Somn.* ii. § 27, i. 683).

Ἤδη γοῦν τινες ἐπετόλμησαν τὸν ἀληθῶς θεὸν φάναι μὴ εἰδέναι (*De Posterit. Caini*, § 33, i. 247).

[Hujus sententiae ac pravae mentis rex etiam Aegypti fuit, qui praesumpsit dicere: "Nescio Dominum" (*Quaestt. et Sol. in Gen.*, *Sermo* iv. § 87, A. ii. 312).]

22 *Κύριε, διὰ τί ἐκάκωσας τὸν λαὸν τοῦτον; Καί, Ἵνα*

ὅτι λαλήσει αὐτός σοι (*Quod det. pot. insid.* § 34: *De Migrat. Abr.* § 14); LXX. *ὅτι λαλῶν λαλήσει αὐτός σοι.* Philo avoids the Hebraism.

εἰς συνάντησίν σου (*De Migrat. Abrah.* § 14); *σοι*, as LXX., *Quod det. pot. insid.* § 34.

16. *αὐτός σοι προσλαλήσει* (*ibid.*), so LXX. Codd. B?A; *αὐτός σοι λαλήσει* Codd. B*, *Vat. Rom.*

22. *πρωτόγονον υἱόν* (*De Posterit. Caini*, § 17), LXX. *Υἱὸς πρωτότοκός μου Ἰσραήλ.*

v. 2. Philo's *οὗ ὑπακούσομαι* (*De Ebriet.* § 6) gives the sense of the LXX. *οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ*, which is closer to the Hebrew.

22. *Κύριε, διὰ τί* (*Quis rerum div. heres*, § 5), so LXX. Codd. AF; *δέομαι, κύριε, τί* Cod. B, *Vat. Rom.*

22, 23 *τί ἀπέσταλκάς με; Καί, Ἀφ' οὗ πεπόρευμαι λαλῆσαι πρὸς Φαραὼ ἐπὶ τῷ σῷ ὀνόματι, ἐκάκωσε τὸν λαόν, καὶ οὐκ ἐρρύσω τὸν λαόν σου* (*Quis rerum div. heres*, § 5, i. 476).

vi. 3 *Δηλοῖ δὲ καὶ λόγιον ἐκ προσώπου θεσπισθὲν τοῦ τῶν ὅλων ἡγεμόνος περὶ τοῦ μηδενὶ δεδηλῶσθαι ὄνομά τι αὐτοῦ κύριον·* Τὸ *ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς.* Τοῦ *γὰρ ὑπερβατοῦ μετατεθέντος, ἑξῆς ἂν τοιοῦτος εἴη λόγος·* Ὄ*νομά μου τὸ κύριον οὐκ ἐδήλωσα αὐτοῖς, ἀλλὰ τὸ ἐν καταχρήσει* (*De Mutat. Nomin.* § 2, i. 580).

12 Ἔ*πειθ' ἑξῆς διαβεβαιούμενος, ὅτι οὐ μόνον οὐκ εὔλογος, ἀλλὰ καὶ παντελῶς ἄλογος* (*Quod det. pot. insid.* § 12, i. 199).

23 Ἔ*λαβε δὲ* Ἀ*αρὼν τὴν* Ἐ*λιζαβέτ, θυγατέρα* Ἀ*μιναδάμ,*

πεπόρευμαι λαλῆσαι πρὸς Φ. (*ibid.*); LXX. *πεπόρευμαι* (*εἰσπεπόρευμαι* Cod. F) *πρὸς Φ. λαλῆσαι.*

ἐρρύσω (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.*; *ἐρύσω* Codd. AF.

vi. 3. LXX. Codd. BAF, *Vat. Rom.* *καὶ τὸ ὄνομά μου κύριος οὐκ ἐδήλωσα αὐτοῖς.* Philo does not apparently read *κύριος* in his quotation. He distinguishes in his comment between the *ὄνομα τὸ κύριον* and the *ὄνομα τὸ ἐν καταχρήσει*, i.e. the proper name and its metaphorical sense. Most probably the word *κύριος* dropped out of the text of the quotation by accident. In ΟΝΟΜΑΜΟΥΚΡΣΟΥΚΕΔΗΛΩΣΑ, the ΚΡΣ, for *κύριος*, was very liable to fall out between the two ΟΥ syllables.

Philo could hardly have opposed the *ὄνομα τὸ κύριον* to the *ὄνομα τὸ ἐν καταχρήσει*, if he had not read *κύριος* in the text.

23. Ἐ*λιζαβέτ* (*De Posterit. Caini*, § 22), so Cod. Coislin. (H. and P.); LXX. Cod. B Ἐ*λεισάβεθ*: Codd. A[1]F Ἐ*λισαβέτ*: *Vat. Rom.* Procop. Gaz. Ἐ*λισαβέθ.*

Ἀ*μιναδάμ* (*ibid.*), so LXX. Codd. A, Coislin. (H. and P.): Cod. B, Procop. Gaz. Ἀ*μειναδάβ*: Cod. F, *Vat. Rom.* Ἀ*μιναδάβ.*

ἀδελφὴν Ναασσὼν ἑαυτῷ γυναῖκα (*De Posterit. Caini*, § 22, i. 239).

26 Τό, Οὗτός ἐστιν Ἀαρὼν καὶ Μωϋσῆς, οἷς εἶπεν ὁ θεὸς ἐξαγαγεῖν τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου· Καὶ τό,
27 Οὗτοί εἰσιν οἱ διαλεγόμενοι Φαραὼ βασιλεῖ· ταῦτα μὴ νομίζωμεν εἰρῆσθαι παρέργως, ἢ τὰς δείξεις μὴ πλέον τι τῶν ὀνομάτων παρεμφαίνειν· ἐπειδὴ γὰρ Μωσῆς μέν ἐστι νοῦς ὁ καθαρώτατος, Ἀαρὼν δὲ λόγος αὐτοῦ (*De Mutat. Nomin.* § 37, i. 610).

29 Ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων· Ἐγὼ κύριος, λάλησον Φαραὼ βασιλεῖ Αἰγύπτου, ὅσα ἐγὼ λαλῶ πρός σε (*ibid.* § 3, i. 581).

vii. 1 Δίδωμι γάρ σε, φησί, θεὸν Φαραώ (*De ss. Abelis et Caini* § 3, i. 165). Ὡσανεὶ γὰρ θεός ἐστι τοῦ ἀλόγου ὁ νοῦς, παρ' ὃ καὶ Μωϋσῆν οὐκ ὤκνησεν εἰπεῖν θεὸν τοῦ Φαραώ (*Leg. Allegor.* i. 13, i. 51).

Λέγεται δὲ ἐν ἱεραῖς βίβλοις· Δίδωμί σε θεὸν Φαραώ, τοῦ διδομένου πάσχοντος οὐ δρῶντος (*Quod detur pot. insid.* § 44, i. 222).

Δίδωμι γάρ σε, φησί, θεὸν Φαραώ, καὶ Ἀαρὼν ὁ

ἑαυτῷ (*ibid.*), LXX. αὐτῷ.

26. οἷς (*De Mutat. Nomin.* § 37); Philo omits the Hebraism of αὐτοῖς after the relative. LXX. οἷς εἶπεν αὐτοῖς ὁ θεὸς Codd. BF, *Vat. Rom.*; οἷς εἶπεν ὁ θεὸς αὐτοῖς Cod. A.

ἐξ Αἰγύπτου (*ibid.*), so LXX. Codd. AF and many cursives: ἐκ γῆς Αἰγύπτου LXX. Cod. B, *Vat. Rom.*

27. Φαραὼ βασιλεῖ (*ibid.*), so LXX. Codd. F, Coislin. (H. and P.), most cursives, Cat. Niceph., Procop. Gaz. *Comm. in Ex.*: πρὸς Φαραὼ βασίλεα Codd. BA, *Vat. Rom.*

29. Φαραὼ βασιλεῖ (*ibid.* § 3). LXX. πρὸς Φαραὼ βασιλέα.

vii. 1. For θεὸς Φαραώ cf. *De Mutat. Nomin.* § 22, i. 597, *De Somn.* ii. 28, i. 684. For προφήτης cf. *Quod det. pot. insid.* § 12, i. 199.

ἀδελφός σου ἔσται σου προφήτης (*De Migrat. Abrah.* § 15, i. 449).

Ἰδοὺ δίδωμί σε θεὸν Φαραώ (*De Mutat. Nomin.* § 3, i. 581).

11, 12 *Ἢ οὐχ ὁρᾷς τοὺς ἐπαοιδοὺς καὶ φαρμακευτάς;... καὶ γὰρ τὰς βακτηρίας εἰς δρακόντων μεταστοιχειοῦσι φύσεις....ἡ ῥάβδος Ἀαρὼν κατέπιε τὰς ἐκείνων ῥάβδους, ὡς δηλοῖ τὸ λόγιον* (*De Migrat. Abrah.* § 15, i. 449).

15 *Ἰδοὺ γάρ, φησίν, ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐπὶ τὸ ὕδωρ ἀφικνεῖται. Σὺ δὲ στήσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ* (*De Confus. Ling.* § 9, i. 409).

Ἰδοὺ αὐτὸς ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ, καὶ στήσῃ συναντῶν αὐτῷ, παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ (*De Somn.* ii. § 42, i. 695, § 45, i. 698).

17 *Αἴδεται δὲ τὰ τοιαῦτα, Τὰ τάδε λέγει κύριος* (*De Mutat. Nomin.* § 3, i. 581).

Ἰδοὺ δίδωμι (*De Mutat. Nomin.* § 3); LXX. *Ἰδοὺ δέδωκά.* The Perfect is the literal rendering of the Hebr. It is noticeable that Philo in all the *four* quotations has *δίδωμι.* Perhaps he preserves a 'primitive' rendering.

12. *ἡ ῥάβδος Ἀαρών* (*De Migrat. Abrah.* § 15); LXX. *ἡ ῥάβδος ἡ Ἀαρών.*

15. *ἐκπορεύεται* (*De Somn.* ii. § 42), as LXX.; *ἀφικνεῖται De Confus. Ling.* § 9.

Σὺ δὲ στήσῃ (*De Confus. Ling.* § 9), *καὶ στήσῃ* (*De Somn.* ii. § 42), LXX. Codd. AF *καὶ στήσῃ*; Cod. B, *Vat. Rom. καὶ ἔσῃ.*

The reading *στήσῃ* gives the Hebrew ונצבת. Philo lays stress upon the word *στήσῃ* in *De Confus. Ling.* § 9: *ἔπειτα δὲ ἑστώς, τὸ παραδοξότατον, ὑπαντᾷ. Στήσῃ γὰρ ὑπαντιάζων. καὶ τὸ μὲν ὑπαντᾷν ἐν κινήσει, κατὰ δ' ἠρεμίαν τὸ ἵστασθαι θεωρεῖται.*

ἐπὶ τὸ χεῖλος (*ibid.*), so LXX.; one cursive MS. (32 H. and P.) has *παρὰ τὸ χεῖλος*, as *De Somn.*

17 f. Ὁ δὲ ψεκτὸς αὐτὸς ἄρα ἦν ὁ Αἰγύπτιος ποταμός,
ἀνάγωγός τις καὶ ἀμαθής, ὡς ἔπος εἰπεῖν, ἄψυχος λόγος,
οὗ χάριν καὶ εἰς αἷμα μεταβάλλει, τρέφειν οὐ δυνά-
21 μενος. ὁ γὰρ ἀπαιδευσίας λόγος οὐ πότιμος...Λέγεται
δέ, ὅτι καὶ ἐν αὐτῷ πάντες ἰχθύες ἐφθάρησαν, οἳ συμβολι-
κῶς εἰσι τὰ νοήματα (*De Somn.* ii. § 39, i. 693).
23 Ἐπιστραφεὶς γάρ, φησί, Φαραὼ εἰσῆλθεν εἰς τὸν
οἶκον αὐτοῦ, καὶ οὐκ ἐπέστησε τὸν νοῦν οὐδ᾽ ἐπὶ τούτῳ
(*De Profug.* § 23, i. 564).
viii. 1 Καθάπερ μαρτυροῦσιν οἱ χρησμοί, ἐν οἷς εἴρηται·
Ἐξαπόστειλον τὸν λαόν, ἵνα με θεραπεύῃ (*De Confus.
Ling.* § 20, i. 419).
9 [5] Τάξαι πρός με, πότε εὔξομαι περὶ σοῦ καὶ τῶν θερα-
10 πόντων σου, ἀφανίσαι τοὺς βατράχους...[ὁ δὲ] ὑπερτίθεται
λέγων, Εἰς αὔριον (*De ss. Abelis et Caini*, § 19, i. 176).
17 [13] Κατὰ τὸ προσταχθὲν τῇ βακτηρίᾳ τὸ ἔδαφος παίσαν-
τος φορὰ σκνιπῶν ἐχύθη (*De Vita Mosis*, i. § 19, ii. 97).
19 [15] Ἐγκαταπίνονται γὰρ καὶ ἀφανίζονται πάντες οἱ
σοφιστικοὶ λόγοι τῇ τῆς φύσεως ἐντέχνῳ ποικιλίᾳ, ὡς
ὁμολογεῖν, ὅτι δάκτυλος θεοῦ...Διόπερ οὐκέτι δύνανται
οἱ φαρμακευταὶ στῆναι ἐναντίον Μωσεῖ, πίπτουσι δ᾽
ὡς ἐν ἀγῶνι ῥώμῃ, τοῦ ἀντιπάλου νικηθέντες καρτερᾷ
(*De Migrat. Abr.* § 16, i. 449).

---

23. τὸν νοῦν (*De Profug.* § 23); + αὐτοῦ LXX.

viii. 1. τὸν λαόν (*De Confus. Ling.* § 20); + μου LXX.

θεραπεύῃ (*ibid.*); LXX. λατρεύσωσιν.

9. καὶ τῶν θεραπόντων (*De ss. Abelis et Caini*, § 19); LXX. καὶ περὶ τῶν θεραπόντων.

17. σκνιπῶν (*De Vita Mosis*, i. § 19): LXX. Codd. BA σκνῖφες: Cod. F σνίκες. The form σκνῖπες is found in seven cursives (H. and P.), Cat. Niceph., and in Ezek. Tragoed. l. 135 καὶ σκνῖπας ἐμβαλῶ χθονί.

26 [22] Μωσῆς δὲ τὰ βδελύγματα Αἰγύπτου θύσειν τῷ θεῷ φησί (*De ss. Abelis et Caini*, § 12, i. 171).

Ἵνα καὶ τὸ ἑτέρωθι λεχθὲν συνᾴδῃ, Τὰ βδελύγματα Αἰγύπτου θύσωμεν κυρίῳ τῷ θεῷ (*De Profug.* § 3, i. 548).

ix. 29 Καὶ Μωϋσῆς δέ, ὁ προφητικὸς λόγος, φησίν, Ὅταν ἐξέλθω τὴν πόλιν, τὴν ψυχήν—πόλις γάρ ἐστι καὶ αὕτη τοῦ ζῴου, νόμους διδοῦσα καὶ ἔθη—, ἐκπετάσω τὰς χεῖρας (*Leg. Allegor.* iii. § 14, i. 95).

Λέγει δὲ καὶ ἑτέρωθι, ὅτι ἐπειδὰν ἐξέλθω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖρας πρὸς τὸν κύριον, καὶ αἱ φωναὶ παύσονται (*De Ebriet.* § 25, i. 372).

Καὶ Μωϋσῆς πρὸς αὐτόν· Ὅταν ἐξέλθω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖρας πρὸς κύριον, καὶ αἱ φωναὶ παύσονται, καὶ ἡ χάλαζα, καὶ ὁ ὑετὸς οὐκ ἔσται, ἵνα γνῷς, ὅτι κυρίου ἡ γῆ, οἱονεὶ πᾶσα ἡ σωματικὴ καὶ γεώδης σύστα-
30 σις. Καὶ σύ, ὁ ἀγαλματοφορούμενος νοῦς, καὶ οἱ θεράποντές σου, οἱ κατὰ μέρος δορυφοροῦντες λογισμοί. Ἐπίσταμαι γὰρ ὅτι οὐδέπω πεφόβησθε τὸν κύριον—ἴσον

---

26. Αἰγύπτου, so Philo in both passages; LXX. τῶν Αἰγυπτίων.

θύσωμεν (*De Profug.* § 3), so LXX. Cod. A: θύσομεν Codd. BF, *Vat. Rom.*

κυρίῳ τῷ θεῷ (*ibid.*); LXX. + ἡμῶν. Philo in *De ss. Abelis et Caini* paraphrases with τῷ θεῷ.

ix. 29. Ὅταν (*Leg. Allegor.* iii. § 14: *De Mutat. Nomin.* § 3), ἐπειδὰν (*De Ebriet.* § 25): LXX. Cod. B, *Vat. Rom.* ὡς ἂν ἐξέλθω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖράς μου, καὶ αἱ φωναὶ παύσονται.

Cod. A inserts, after τὰς χεῖράς μου, πρὸς τὸν θεὸν εἰς τὸν οὐρανόν.

Philo, with πρὸς τὸν κύριον and πρὸς κύριον, follows the Hebr. text אל־יהוה.

In all three passages he has τὰς χεῖρας for τὰς χεῖράς μου.

τῷ· οὐ τὸν λεγόμενον ἄλλως, ἀλλὰ τὸν ὄντως ὄντα δεσπότην (*De Mutat. Nomin.* § 3, i. 581).

x. 21 Ἕως οὖν ἔτι σοὶ τὸ ἱερὸν φέγγος ὁ θεὸς ἀκτινοβολεῖ, σπούδασον ἐν ἡμέρᾳ τὸ ῥύσιον ἀποδοῦναι τῷ κυρίῳ· δύντος γάρ, ὡς πᾶσα Αἴγυπτος, ψηλαφητὸν ἕξεις σκότος τὸν αἰῶνα (*De Somn.* i. § 18, i. 638).

23 Τοῖς γὰρ υἱοῖς Ἰσραὴλ φῶς ἦν ἐν πᾶσιν οἷς κατεγίνοντο, φησὶν ἐν Ἐξόδῳ (*ibid.* i. § 19, i. 638).

xi. 5 Ἐάν τε μὴν ἴδῃς τὰ γνήσια ἔγγονα καὶ πρωτότοκα Αἰγύπτου φθειρόμενα, τὸ ἐπιθυμεῖν, τὸ ἥδεσθαι, τὸ λυπεῖσθαι, τὸ φοβεῖσθαι, τὸ ἀδικεῖν, τὸ εὐφραίνειν, τὸ ἀκολασταίνειν, καὶ ὅσα τούτων ἀδελφὰ καὶ συγγενῆ, καταπλαγεὶς ἡσύχαζε, τὸ φοβερὸν τοῦ θεοῦ κράτος ὑπο-
7 πτήξας. Οὐ γὰρ γρύξει, φασί, κύων τῇ γλώσσῃ, οὐδ' ἀπ' ἀνθρώπου ἕως κτήνους (*ibid.* ii. § 40, i. 694).

xii. 1 See *Lib. de Septenario*, §§ 18, 19, ii. 292.

2 [Mensis hic vobis principium mensium; primus est in mensibus anni (*Quaestt. et Solut. in Ex.*, *Serm.* i. 1, A. ii. 443).

Alio itaque loco dicit: Hic mensis vobis principium est mensium, primus est in mensibus anni (*Quaestt. et Solut. in Gen.*, *Serm.* ii. 45, A. ii. 123).]

3 Λέγεται γάρ, Τῇ δεκάτῃ τοῦ μηνὸς *τούτου* λαβέτωσαν ἕκαστος πρόβατον κατ' οἰκίαν (*De Congr. Erud. grat.* § 19, i. 534).

---

xi. 7. τῇ γλώσσῃ (*De Somn.* ii. § 40); + αὐτοῦ LXX.

οὐδὲ ἀπὸ ἀνθρώπου ἕως κτήνους (*ibid.*); so LXX. Codd. B[abmg]A, *Vat. Rom.* (om. οὐδὲ Cod. A, *Vat. Rom.*). Cod. B* omits clause.

xii. 3. *τούτου*. Mangey's text has τοῦ δεκάτου. His note is, "Scribe τούτου. Neque enim Pascha mense decimo sed primo celebratum."

[Quid est, quod secundum domos familiarum jubet sumi ovem? (*Quaestt. et Sol. in Ex., Serm.* i. 3, ii. 448).]

4 Διείρηται γάρ· Ἐὰν ὀλίγοι ὦσιν οἱ ἐν τῇ οἰκίᾳ, ὥστε μὴ ἱκανοὺς εἶναι εἰς τὸ πρόβατον, τὸν πλησίον γείτονα προσλαβεῖν κατ' ἀριθμὸν ψυχῶν (*Quis rerum div. heres*, § 40, i. 500).

[Quare, si pauci fuerint in domo, jubet vicinos assumere secundum numerum animarum? (*Quaestt. et Sol. in Ex., Serm.* i. 5, A. ii. 450).]

Καὶ γὰρ διάβασίν γε μελετῶσαν ἀπὸ τῶν παθῶν καὶ τὸ πάσχα θύουσαν, δεῖ τὴν προκοπήν, τὸ πρόβατον, λαμβάνειν μὴ ἀμέτρως· Ἕκαστος γάρ, φησί, τὸ ἀρκοῦν αὐτῷ συναριθμήσεται εἰς πρόβατον (*Leg. Allegor.* iii. § 57, i. 119).

5 [Cur perfectum, masculum, anniculum jubet accipi ovem? (*Quaestt. et Sol. in Ex., Sermo* i. 7, ii. 452).

6 Quare ex decima (die mensis) jubet servari quartae decimae (diei) ovem sacrificandam? (*ibid.* 2, ii. 446).

Cur praecipit usque ad quartam decimam (mensis diem) conservare sacrificium? et immolabit, ait, (illud) omnis multitudo (*ibid.* i. 9, 10, A. ii. 457).

Ecclesiam vero (*s.* Congregationem) nunc dicens multitudinem, apposite usurpavit nomenclaturam...Quoniam conveniente secundum unanimam concordiam,

---

4. ὀλίγοι (*Quis rerum div. heres*, § 40); LXX. ὀλιγοστοί.

ἱκανοὺς εἶναι (*ibid.*): so LXX. Codd. A, Coislin. and over 30 cursives (H. and P.); εἶναι ἱκανοὺς Cod. B, *Vat. Rom.*

εἰς τὸ πρόβατον (*ibid.*); LXX. om. τό.

προσλαβεῖν κ.τ.λ. (*ibid.*); LXX. συλλήμψεται μεθ' ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ.

Philo's quotation is not exact; and the words κατὰ ἀριθμὸν ψυχῶν, in the LXX., begin the next clause.

conversa multitudine in gratiarum actionem pro transmigratione, non amplius multitudinem, aut gentem, aut populum appellavit, sed ecclesiam. Contigit ergo eis non tantum congregari ac convenire corpore, verum etiam mente, tanquam una indole unoque animo sacrificaturi....
7 Quare jussum dat de sanguine apponi super limina et super postes singularum domorum?...unde jure divini sacrificii ex sanguine offerendo super postes singulorum dignos eos efficit....Littera haec declarat. Ad mentem vero, tripartita quum sit anima nostra, superliminari simile comperitur cor, et domui cupiditas, et utrique posti verbum (sive oratio et ratio) (*Quaestt. et Sol. in Ex.*, *Serm.* i. 10–12, A. ii. 456, 457).]

8 *Διείρηται καὶ ἐπὶ πικρίδων τὰ ἄζυμα ἐσθίειν* (*De Congr. Erud. grat.* § 28, i. 542).

[Assatam offerre carnem jubet Transitus (sc. Paschalis) hostiae...Azymum cum amarula* ait una cum dicto sacrificio offerre. Azymus multae accelerationis festinationisque (signum) est; amarula vero acerbae vitae afflictionibus plenae, quam sustinuerunt in servitute. Haec ad litteram. Ad mentem vero illud notandum. ...Amarula vero declaratio est spiritualis emigrationis, qua quis a cupiditatibus in apathiam et ex improbitate in virtutem transmigrat...Cum amarulis comedamus azymum qui poenitentiam desideramus (*Quaestt. et Sol. in Ex.*, *Sermo* i. 15, A. ii. 458, 459).

9 Quid est, "Non comedatis crudum"? Quid est, quod

---

* Amarula, Lat. Vulg. *lactuca agresti*, aliis Graeca voce *picride*, aliis *amarigine*, nonnullis *amaritudine* (Auch.).

caput cum pedibus et intestinis in Pascha offerendum erat? (*Quaestt. et Sol. in Ex.*, *Sermo* i. §§ 15—17, A. ii. 460, 461).]

11 *Διὸ καὶ ἐπὶ τῆς διαβάσεως αὐτῶν, ὃ καλεῖται πάσχα, προστάττει τὰς ὀσφύας περιεζῶσθαι, ἤτοι συνέσταλθαι τὰς ἐπιθυμίας* (*Leg. Allegor.* iii. § 52, i. 117).

Καὶ γὰρ τὸ πάσχα τοῖς ἐκ παθῶν εἰς ἄσκησιν ἀρετῆς διαβᾶσι προστέτακται ποιεῖσθαι, τὰς ὀσφῦς περιεζωσμένους, ἑτοίμως πρὸς ὑπηρεσίαν ἔχοντας· καὶ τὸν σάρκινον ὄγκον, τὰ ὑποδήματα *λέγω*, *περιειληφότας ἀκλινῶς καὶ παγίως ἑστῶσι τοῖς πόσι, καὶ τὴν παιδείαν διὰ χειρὸς ἔχοντας ῥάβδον, πρὸς τὴν τῶν ἐν τῷ βίῳ πραγμάτων πάντων ἄπταιστον κατόρθωσιν, καὶ τὸ τελευταῖον μετὰ σπουδῆς ἐντραφῆναι· διάβασις γὰρ ἐπὶ θεὸν τοῦ γεννητοῦ καὶ φθαρτοῦ τὸ πάσχα εἴρηται* (*De ss. Abelis et Caini*, § 17, i. 174).

Φησὶ γὰρ μετὰ σπουδῆς δεῖν θύειν τὸ πάσχα, τὸ δ' ἔστιν ἑρμηνευθὲν διάβασις (*De Migrat. Abrah.* § 5, i. 440).

[Quid autem sit Phasec, quod explicatur Transitus (*Quaestt. et Solut. in Ex.*, *Sermo* i. § 4, A. ii. 449).]

Cf. Theodoret *Quaestt.* xxiv. *in Exod.* *τὸ δὲ πάσχα ὁ μὲν Φίλων ἑρμήνευσε διαβατήρια.*

[Comedere autem jubet, habentes zonas et calcea-
12 menta et baculos...."Et in omnibus," ait, "diis Aegypti-
17 orum faciam vindictam ego dominus."...Quid est, "Educam
virtutem vestram (h. e. exercitum) de Aegypto"?...

---

11. *λέγω*. This conjecture of Markland's is mentioned by Mangey (i. 724), who himself reads λόγῳ. In support of λέγω he quotes *ταῖς ἀψύχοις δόξαις, λέγω δὲ βατράχοις, πιεσθείς* (*De ss. Abelis et Caini*, § 19, i. 176).

22 Quid est, "Nemo autem exeat ostium domus suae usque
23 mane"?...Transcendet dominus ostium vestrum...Dicit, quod "non sinet disperdentem ingredi in domos vestras ad percutiendum"...Optime itaque dicit: "non sinet percussorem ingredi domum vestram ad laedendum" (*Quaestt. et Sol. in Ex., Sermo* i. §§ 19—23, A. ii. 462—466).]

Διὸ καὶ Μωσῆς φησίν, ὅτι οὐκ ἐάσει τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι (*Leg. Allegor.* ii. § 9, i. 72).

38 *Λέγεται γάρ, ὅτι Καὶ ἐπίμικτος πολὺς συνανέβη αὐτοῖς, καὶ πρόβατα καὶ βόες, καὶ κτήνη πολλὰ σφόδρα. Ὁ δὲ ἐπίμικτος οὗτος ἦν τὰ κτηνώδη καὶ ἄλογα τῆς ψυχῆς, εἰ δεῖ τἀληθὲς εἰπεῖν, δόγματα* (*De Migrat. Abrah.* § 27, i. 459).

39 *Ἔπεψαν γὰρ τὸ σταῖς αὐτῶν ὃ ἐξήνεγκαν ἀπ' Αἰγύπτου, ἐγκρυφίας ἀζύμους* (*De ss. Abelis et Caini*, § 16, i. 174).

xiii. 1, 2 *Καὶ ἐν ἑτέροις· Εἶπε κύριος πρὸς Μωϋσῆν λέγων· Ἁγίασόν μοι πᾶν πρωτότοκον, πρωτογενές, διανοῖγον μήτραν, ἐν υἱοῖς Ἰσραήλ, ἀπὸ ἀνθρώπου ἕως κτήνους· ἐμοί ἐστιν* (*Quis rerum div. heres*, § 24, i. 489).

11 *Ἔστι δὲ τοιόνδε· Καὶ ἔσται, φησίν, ὡς ἂν εἰσαγάγῃ σε ὁ θεὸς εἰς τὴν γῆν τῶν Χαναναίων ὃν τρόπον ὤμοσε τοῖς*

---

23. *οὐκ ἐάσει* (*Leg. Allegor.* ii. § 9); LXX. *οὐκ ἀφήσει.*

39. LXX. *τὸ σταῖς* (om. *αὐτῶν*)...*ἐξ Αἰγύπτου.* The pronoun is not in the Hebrew. The interchange of *ἐξ* and *ἀπὸ* is frequent.

xiii. 2. *διανοῖγον μήτραν* (*Quis rerum div. heres*, § 24): LXX. Codd. BF, *Vat. Rom.* *διανοῖγον πᾶσαν μήτραν*; Cod. A *καὶ διανοῖγ. πᾶσ. μήτρ.* *ἐν υἱοῖς* (*ibid.*), LXX. *ἐν τοῖς υἱοῖς.*

11. *ὁ θεὸς* (*De ss. Abelis et Caini*, § 27); LXX. Codd. BAF, *Vat. Rom.* *κύριος ὁ θεός σου.* Hebrew יהוה. Philo possibly here reproduces a

11—13 *πατράσι σου, καὶ δώσω σοι αὐτήν, καὶ ἀφελεῖς πᾶν διανοῖγον μήτραν ἐκ τῶν βουκολίων ἐν τοῖς κτήνεσιν ὅσα ἂν γένηταί σοι, τὰ ἀρσενικά, τῷ κυρίῳ. Πᾶν διανοῖγον μήτραν ὄνου, ἀλλάξεις προβάτῳ· ἐὰν δὲ μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό* (*De ss. Abelis et Caini*, § 27, i. 180).

12 *Πᾶν διανοῖγον μήτραν τὰ ἀρσενικὰ τῷ κυρίῳ. Ἀλλὰ καὶ παντός, φησί, διανοίγοντος μήτραν ἐκ τῶν βουκολίων ἐν τοῖς κτήνεσιν ὅσα ἂν γένηταί σοι, τὰ ἀρσενικὰ τῷ κυρίῳ* (*ibid.* §§ 31, 32, i. 183).

13 *Πᾶν διανοῖγον μήτραν ὄνου ἀλλάξεις προβάτῳ· ἴσον τῷ, πάντα πόνον ἀντικαταλλάττου προκοπῆς. Πόνου μὲν γὰρ ὄνος· τλητικὸν γὰρ τὸ ζῷον· προκοπῆς δὲ πρόβατον, ὡς καὶ αὐτὸ δηλοῖ τοὔνομα...ἐὰν δέ, φησί, μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό* (*ibid.* § 34, i. 185).

19 *Εἴ γε καὶ Μωϋσῆς ὁ ἱεροφάντης ἀξιέραστον καὶ ἀξιομνημόνευτον οὖσαν αὐτοῦ τὴν μετανοίαν ἐκ φθορᾶς ἀνασώζει, διὰ συμβόλου τῶν ὀστέων, ἃ κατορωρύχθαι μέχρι τοῦ παντὸς οὐκ ᾤετο δεῖν ἐν Αἰγύπτῳ* (*De Somn.* ii. § 16, i. 673).

'primitive' Greek rendering, of which the LXX. is a correction made to approximate to the Hebrew.

δώσω (*ibid.*), so LXX. Cod. F; *δώσει* LXX. Cod. B, *Vat. Rom.*; *δῷ* LXX. Cod. A. Philo omits *σοι* after *δώσω*.

12. *ἀφελεῖς* (*ibid.* § 27), so LXX. Cod. B, *Vat. Rom.*; *ἀφοριεῖς* LXX. Codd. AF.

Πᾶν διανοῖγον μήτραν. Philo omits after these words, by homoeoteleuton, *τὰ ἀρσενικά, τῷ κυρίῳ· πᾶν διανοῖγον μήτραν.*

ἐκ τῶν βουκολίων ἐν τοῖς κτήνεσιν (*ibid.*) LXX. Codd. BF, *Vat. Rom.* *ἐκ τῶν βουκολίων ἢ ἐν τοῖς κτήνεσιν*, Cod. A *ἐκ βουκ. καὶ κ.τ.λ.*

ἂν (*ibid.*), so LXX. Codd. AF; *ἐὰν* Cod. B, *Vat. Rom.*

τῷ κυρίῳ (*ibid.*); pr. *ἁγιάσεις* LXX. Codd. BA, *Vat. Rom.*; omit, as Philo, Cod. F, following the Hebr.

xiv. 7 Καὶ Μωϋσῆς μέντοι κατὰ ταῦτα, ἐπειδὰν ἴδῃ τὸν βασιλέα τῆς Αἰγύπτου, τὸν ὑπέραυχον νοῦν, σὺν τοῖς ἑξακοσίοις ἅρμασι, ταῖς τοῦ ὀργανικοῦ σώματος ἓξ κινήσεσιν ἡρμοσμέναις, τοῖς ἐπιβεβηκόσι τριστάταις (*De Ebriet.* § 29, i. 374).

11 Διὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ, οἷς ἀποθανόντες ἐνταφησόμεθα, ἐξήγαγες ἡμᾶς, ἵνα ἐνταῦθα κηδεύσῃς ἀποκτείνας; Ἦ οὐ πᾶσα δουλεία κουφότερον κακὸν θανάτου; (*De Vita Mosis*, i. § 31, ii. 108).

13 Ἣν ὁρᾶτε στρατιὰν εὐοπλοῦσαν, οὐκέτι ἀντιτεταγμένην ὄψεσθε (*ibid.*).

Μωϋσῆς γοῦν τοῖς δεδιόσι, μήποτε πρὸς τοῦ φαύλου πανστρατιᾷ διώκοντος ἀπόλωνται, φησί· Στῆτε καὶ ὁρᾶτε τὴν σωτηρίαν τὴν παρὰ τοῦ κυρίου ἣν ποιήσει ὑμῖν, ἐκδιδάσκων, ὅτι οὐ διὰ τοῦ θεοῦ, ἀλλὰ παρ' αὐτοῦ ὡς αἰτίου τὸ σώζεσθαι (*De Cherub.* § 35, i. 162).

14 Λέγεται γοῦν ἐν Ἐξόδῳ, Κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ὑμεῖς σιγήσετε. καὶ χρησμὸς εὐθὺς ὑπο-
15 κεῖται τοιόσδε· Καὶ εἶπε κύριος πρὸς Μωϋσῆν· Τί βοᾷς πρός με; (*Quis rerum div. heres*, § 4, i. 474).

Ἔστι δὲ καὶ τούτου δείγματα ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς

---

xiv. 7. τοῖς ἐπιβεβηκόσι τριστάταις. This corresponds to LXX. τριστάτας ἐπὶ πάντων.

13. Στῆτε (*De Cherub.* § 35), so LXX. BF, *Vat. Rom.*; στήκετε Cod. A.

ὑμῖν (*ibid.*), LXX. ἡμῖν σήμερον. Hebr. לכם היום.

14. ὑπὲρ ἡμῶν, so Philo twice; LXX. Codd. BAF, *Vat. Rom.*, περὶ (ὑπὲρ F) ὑμῶν. ὑπὲρ is read also by Cod. Coislin. and 25 cursives (H. and P.).

σιγήσετε (*Quis rerum div. heres*, § 4), so LXX. BAF, *Vat. Rom.*; σιγήσεσθε (*De Somn.* ii. § 41), so many cursives, and Cat. Niceph.

15. Καὶ εἶπε (*Quis rerum div. heres*, § 4), LXX. εἶπε δὲ.

κατακείμενα, οἷον τό· Κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ὑμεῖς σιγήσεσθε (*De Somn.* ii. § 41, i. 694).

20 Τεθαύμακα *δὲ ἔτι μᾶλλον, ἐπειδὰν κατακούων τῶν ἁγίων λογίων ἀναδιδάσκωμαι, ὃν τρόπον εἰσῆλθε νεφέλη μέση τῆς Αἰγυπτιακῆς καὶ τῆς Ἰσραηλιτικῆς στρατιᾶς* (*Quis rerum div. heres,* § 42, i. 501).

27 Λέγεται *γάρ, ὅτι ἐξετίναξε τοὺς Αἰγυπτίους, κατὰ μέσον τῆς θαλάσσης φεύγοντας ὑπὸ τὸ ὕδωρ* (*De Confus. Ling.* § 16, i. 415).

30 Εἶδε *γάρ, φησίν, Ἰσραὴλ τοὺς Αἰγυπτίους, οὐχ ἑτέρωθι τεθνεῶτας, ἀλλὰ παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ* (*ibid.* 10, i. 410).

Διὸ *λέγεται·* Εἶδεν Ἰσραὴλ *τοὺς Αἰγυπτίους τεθνηκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης* (*De Somn.* ii. § 42, i. 696).

xv. 1 Διὰ *τοῦτο καὶ* Μωϋσῆς *ἐν τῷ ᾄσματι ὑμνεῖ τὸν θεόν, ὅτι ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν* (*Leg. Allegor.* ii. § 25, i. 85).

Ἔστι *δὲ καὶ τοιόσδε·* Ἄσωμεν *τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν* (*De Agricult.* § 18, i. 312; *De Somn.* ii. § 41, i. 694; cf. *De Ebriet.* § 29, i. 374).

8 Καὶ *γὰρ ἡνίκα ὁ τὸν θεὸν ὁρῶν φυγὴν τὴν ἀπὸ τῶν*

---

20. LXX. *καὶ εἰσῆλθεν ἀνὰ μέσον τῆς παρεμβολῆς* (om. Cod. B) *τῶν Αἰγυπτίων καὶ ἀνὰ μέσον τῆς παρεμβολῆς Ἰσραήλ*; so Codd. AF, *Vat. Rom.*

27. LXX. *οἱ δὲ Αἰγύπτιοι ἔφυγον ὑπὸ τὸ ὕδωρ, καὶ ἐξετίναξεν κύριος τοὺς Αἰγυπτίους μέσον τῆς θαλάσσης.*

30. *Εἶδε* (*De Confus. Ling.* § 10), so LXX. Cod. F, *Vat. Rom.*; *ἴδεν* Codd. BA.

τεθνεῶτας (*ibid.*), but *τεθνηκότας De Somn.* ii. § 42, as LXX.

τοῦ ποταμοῦ (*De Confus. Ling.*), clearly a slip for *τῆς θαλάσσης.*

παθῶν μελετᾷ, πήγνυνται τὰ κύματα...ἐπάγη γὰρ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης (*Leg. Allegor.* iii. § 60, i. 121).

9 *Διώξας γάρ, φησίν, καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου· καὶ ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου* (*De Cherub.* § 24, i. 152).

10 *Μολίβδου τρόπον εἰς βύθον χωροῦσιν* (*Vit. Mos.* iii. § 34, ii. 173).

17, 18 *Λέγει γάρ· Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληροδοσίας σου, ἕδρασμα εἰς καθέδραν σου κατειργάσω, κύριε, ἁγίασμα, κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου. Κύριος βασιλεύων τῶν αἰώνων καὶ ἐπ' αἰῶνα καὶ ἔτι* (*De Plantat. Noe*, § 12, i. 336).

17 *Διὸ καὶ Μωϋσῆς εὔχεται φάσκων, Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς* (*De Congr. Erud. grat.* § 11, i. 527).

---

xv. 9. *καὶ ἀνελῶ* (*De Cherub.* § 24), LXX. om. *καί*.

μαχαίρᾳ (*ibid.*), so LXX. B[c]; LXX. B*AF, *Vat. Rom.* *μαχαίρῃ*.

Mangey mentions, "Additur in MS. Vat. [*De Cherub.*] *αὐτῶν*, cui favet Textus Hebraicus. Atqui non agnoscitur a Graecis interpretibus."

17. *κληροδοσίας* (*De Plantat. Noe*, § 12), LXX. *κληρονομίας*. But Philo himself in the same context says *ὄρος αὐτὸν κληρονομίας εἰπών*.

ἕδρασμα εἰς καθέδραν σου κατειργάσω (*ibid.*). This is apparently an alternative rendering to that of the LXX. *εἰς ἕτοιμον κατοικητήριόν σου ὃ κατηρτίσω*, and approaches nearer to the Hebrew מכון לשבתך פעלת.

κατειργάσω (*ibid.*), so LXX. Codd. F and Coislin. and over 60 cursives (H. and P.); *κατηργάσω* Cod. A, 6 cursives and Cat. Niceph.; *κατηρτίσω* Cod. B, *Vat. Rom.*

ἁγίασμα κύριε (*ibid.*), so LXX. Codd. B[abmg]AF, *Vat. Rom.*; om. Cod. B*.

ἡτοίμασαν. The reading *ἥδρασαν* is found in some MSS. of Philo. But he speaks a little later of *τὸ δέ, ἡτοίμασθαι ὑπὸ χειρῶν θεοῦ*.

18 Ἀναγκαίως ἐπεβόησε Μωϋσῆς, λέγων· Κύριος βασιλεύων τῶν αἰώνων καὶ ἐπ' αἰῶνα καὶ ἔτι (*De Mundo*, § 7, ii. 608).

20 Δύο δὲ χοροί, ὁ μὲν τῆς ἀνδρωνίτιδος, ὁ δὲ τῆς γυναικωνίτιδος ἑστίας, στάντες ἄντηχον καὶ ἀντίφωνον ἀναμέλψουσιν ἁρμονίαν. Χρήσεται δ' ὁ μὲν τῶν ἀνδρῶν χορὸς ἡγεμόνι Μωσεῖ, νῷ τελείῳ, ὁ δὲ τῶν γυναικῶν Μαριάμ, αἰσθήσει κεκαθαρμένῃ (*De Agricult.* § 17, i. 312).

21 ff. Ὅτε ἡμᾶς ἐκ τῆς Αἰγύπτου, τῶν κατὰ τὸ σῶμα παθῶν, ἐξήγαγε, τὴν ἔρημον ἡδονῆς ἀτραπὸν ὁδεύοντες, ἐν Μεῤῥᾷ ἐστρατοπεδευόμεθα χωρίῳ, πότιμον μὲν οὐκ ἔχοντι νᾶμα, πικρὸν δὲ σύμπαν......θᾶττον ὁ σωτὴρ οἶκτον λαβών, καθάπερ ἥδυσμα, ξύλον γλυκαῖνον εἰς τὴν ψυχὴν ἐνέβαλε (*De Posterit. Caini*, § 44, i. 255).

Ἐξελθόντες γάρ, φησίν, ἐκ τῶν Αἰγυπτιακῶν παθῶν,
23 ἦλθον εἰς Μεῤῥάν, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ
Μεῤῥᾶς· πικρὸν γὰρ ἦν. Διὰ τοῦτο ἐπωνομάσθη τὸ
24 ὄνομα τοῦ τόπου ἐκείνου Πικρία. Καὶ διεγόγγυζεν ὁ
25 λαὸς κατὰ Μωϋσῆ, λέγοντες, Τί πιώμεθα; Ἐβόησε δὲ

---

18. Κύριος (*De Mund.* § 7), so LXX. Cod. B, *Vat. Rom.*; κύριε Codd. AF.

βασιλεύων (*ibid.*): Cod. Med. reads βασιλεύει=ימלך.

τῶν αἰώνων καὶ ἐπ' αἰῶνα καὶ ἔτι, LXX. τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι, a double rendering of לעולם ועד.

23. εἰς Μεῤῥὰν (*De Congr. Erud. grat.* § 29), so LXX. Codd. AF, Coislin.; Cod. B, *Vat. Rom.* εἰς Μεῤῥᾶ.

πιεῖν ὕδωρ (*ibid.*), so LXX. Codd. AF: Cod. B, *Vat. Rom.* om. ὕδωρ. Heb. לשתת מים.

ἐπωνομάσθη (*ibid.*), so LXX. Codd. AF, Coislin.; Cod. B, *Vat. Rom.* ἐπωνόμασεν.

24. κατὰ Μωϋσῆ (*ibid.*), so LXX. Codd. AF, Coislin.; Cod. B ἐπὶ Μωσῆν; *Vat. Rom.* ἐπὶ Μωϋσῆ.

πιώμεθα (*ibid.*), LXX. πιόμεθα.

Μωϋσῆς πρὸς κύριον. καὶ ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ. Ἐκεῖ ἔθετο αὐτῷ δικαιώματα καὶ κρίσιν, κἀκεῖ αὐτὸν ἐπείραζεν (*De Congr. Erud. grat.* § 29, i. 543).

Ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ τὸν κεχυμένον καὶ πλαδῶντα καὶ πικρίας γέμοντα νοῦν, ἵνα γλυκανθεὶς ἡμερωθῇ (*De Migrat. Abr.* § 8, i. 441).

27 Ἦλθον γάρ, φησίν, εἰς Αἰλείμ, καὶ ἐν Αἰλεὶμ ἦσαν δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα στελέχη φοινίκων· παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα (*De Profug.* § 33, i. 573).

xvi. 4 Ὅτι δὲ οὐ γήϊνοι, ἀλλὰ οὐράνιοι αἱ ψυχῆς τροφαί, μαρτυρήσει διὰ πλειόνων ὁ ἱερὸς λόγος, Ἰδοὺ ἐγὼ ὕω ὑμῖν ἄρτους τοῦ οὐρανοῦ, καὶ ἐξελεύσεται ὁ λαός, καὶ συνάξουσι τὸ τῆς ἡμέρας εἰς ἡμέραν, ὅταν πειράσω αὐτούς, εἰ πορεύσονται τῷ νόμῳ μου ἢ οὔ (*Leg. Allegor.* iii. § 56, i. 119; ὅπως for ὅταν § 58, i. 120).

---

25. κρίσιν (*ibid.*) = Heb. מִשְׁפָּט; LXX. κρίσεις.

αὐτὸν ἐπείραζεν (*ibid.*); LXX. Cod. B ἐπείρασεν αὐτόν; Codd. AF, Procop. Gaz. ἐπείραζεν αὐτόν; *Vat. Rom.* αὐτὸν ἐπείρασε.

27. Ἦλθον (*De Profug.* § 33), so LXX. Codd. AF, Coislin.; ἤλθοσαν Cod. B, *Vat. Rom.*

ἐν Αἰλεὶμ ἦσαν (*ibid.*); LXX. καὶ ἦσαν ἐκεῖ, as Hebr.

δώδεκα (*ibid.*), so LXX. Codd. AF, *Vat. Rom.*; ιβ′ Cod. B.

παρὰ (*ibid.*), so LXX. Codd. BF, *Vat. Rom.*; ἐπὶ Cod. A.

xvi. 4. τοῦ οὐρανοῦ (*Leg. Allegor.* iii. § 56); ἀπ' οὐρανοῦ (*De Mut. Nom.* § 44); ἐκ τοῦ οὐρανοῦ (*De Profug.* § 25), so LXX.

συνάξουσι (*ibid.*), LXX. συλλέξουσιν.

ὅταν (*Leg. Allegor.* iii. § 56), an error for ὅπως (LXX.), as is shown by Philo's reading of ὅπως in the next section but one.

νόμῳ (*ibid.*), so LXX. Codd. BF, *Vat. Rom.*; ὀνόματι Cod. A.

῞Ηδ' ἐστιν ἡ οὐράνιος τροφή, μηνύεται δ' ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς ἐκ προσώπου τοῦ αἰτίου λέγοντος, Ἰδοὺ ἐγὼ ὕω ὑμῖν ἄρτους ἐκ τοῦ οὐρανοῦ (*De Profug.* § 25, i. 566).

Ἰδοὺ ὕω ὑμῖν ἄρτους ἀπ' οὐρανοῦ (*De Mutat. Nomin.* § 44, i. 617).

5 *Τὸ τῆς ἡμέρας οὖν εἰς ἡμέραν συναγαγέτω ἡ ψυχή* (*Leg. Allegor.* iii. § 57, i. 120).

13 (Num. xi. 31) *Ἀπὸ γὰρ τῆς θαλάττης ἀρθὲν ὀρτυγομήτρας νέφος ἐγχεῖται παρὰ τὴν ἕω, καὶ τὸ μὲν στρατόπεδον καὶ τὰ πέριξ ἐφ' ἡμερήσιον ἀνδρὸς εὐζώνου πανταχόθεν ἐν κύκλῳ ὑπεσκίαστο* (*De Concupisc.* § 11, ii. 357).

13—16 *Τὸ πρωῒ ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς, καὶ ἰδοὺ ἐπὶ πρόσωπον τῆς ἐρήμου λεπτὸν ὡσεὶ κόριον, λευκόν, ὡσεὶ πάγος ἐπὶ τῆς γῆς. Ἰδόντες δὲ αὐτὸ εἶπον ἕτερος τῷ ἑτέρῳ· Τί ἐστι τοῦτο; οὐ γὰρ ᾔδεισαν, τί ἦν. Εἶπε δὲ αὐτοῖς Μωσῆς, Οὗτος ὁ ἄρτος, ὃν δέδωκεν ἡμῖν κύριος τοῦ φαγεῖν, τοῦτο τὸ ῥῆμα ὃ συνέταξε κύριος* (*Leg. Allegor.* iii. § 59, i. 120, § 60, i. 121).

---

5. Τὸ τῆς ἡμέρας (*ibid.*). This quotation seems to be based on *ver.* 4 συλλέξουσιν τὸ τῆς ἡμέρας εἰς ἡμέραν, and *ver.* 5 ὃ ἐὰν συναγάγωσιν (εἰσενέγκωσιν A) τὸ καθ' ἡμέραν εἰς ἡμέραν.

13. Τὸ πρωὶ ἐγένετο (*Leg. Allegor.* iii. § 59), so LXX. Codd. BF, *Vat. Rom.*; Cod. A τὸ πρωὶ δὲ ἐγένετο.

15. αὐτὸ (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.*; om. Codd. AF.

εἶπον (*ibid.*), LXX. εἶπαν, + οἱ υἱοὶ Ἰσραήλ.

αὐτοῖς Μωϋσῆς (*ibid.*), LXX. Cod. B, *Vat. Rom.* Μωϋσῆς αὐτοῖς; Codd. AF Μωϋσῆς πρὸς αὐτούς.

δέδωκεν (*ibid.*), LXX. ἔδωκεν, as *De Profug.* § 25.

ἡμῖν κύριος (*ibid.*), LXX. κύριος ὑμῖν, [but ὑμῖν κύριος "Cod. Coislin., 18, Cyr. Al." (H. and P.)], as Hebr.

τοῦ φαγεῖν (*ibid.*), LXX. φαγεῖν, as *De Profug.* § 25.

15 *Διὸ πυνθάνονται, Τί ἐστι τοῦτο, ὃ μέλιτος γλυκύτερον, χιόνος δὲ λευκότερον εἶναι πέφυκε; Διδαχθήσονται δὲ ὑπὸ τοῦ θεοπρόπου, ὅτι Οὗτός ἐστιν ὁ ἄρτος, ὃν ἔδωκε κύριος αὐτοῖς φαγεῖν. Τίς οὖν ὁ ἄρτος; εἰπέ.*

16 *Τοῦτο, φησί, τὸ ῥῆμα ὃ συνέταξε κύριος* (*De Profug.* § 25, i. 566).

18 *Μαρτυρεῖ δὲ Μωσῆς λέγων, Οὐκ ἐπλεόνασεν ᾧ τὸ πολύ, καὶ ᾧ τὸ ὀλίγον οὐκ ἐλαττόνησεν* (*Quis rerum div. heres*, § 39, i. 500).

36 *Παγκάλως οὖν καὶ ἀναγκαίως ἅμα ἐν εἴδει παραδιηγήματος, ἡνίκα τοῦ οὐρανίου καὶ θείας τροφῆς τὸ μνημεῖον ἐν στάμνῳ χρυσῷ καθιεροῦτο, φησίν, ὡς ἄρα τὸ Γομὸρ δέκατον τῶν τριῶν μέτρων ἦν* (*De Congr. Erud. grat.* § 18, i. 533).

xvii. 6 *Ὧδε ἐγὼ ἕστηκα πρὸ τοῦ σε* (*Leg. Allegor.* iii. § 2, i. 88).

Καθάπερ ἐν ἑτέροις μαρτυρεῖ λέγων, Ὅδε ἐγὼ ἕστηκα ἐκεῖ, πρὸ τοῦ σε (*De ss. Abelis et Caini*, § 18, i. 175).

---

18. LXX. *οὐκ ἐπλεόνασεν ὁ τὸ πολύ, καὶ ὁ τὸ ἔλαττον οὐκ ἠλαττόνησεν.*

One cursive, 72 (H. and P.), reads *ᾧ* for *ὁ*.

For Philo's reading, *ὀλίγον* for *ἔλαττον*, compare 2 Cor. viii. 15 *ὁ τὸ πολὺ οὐκ ἐπλεόνασεν, καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησεν.*

36. *δέκατον* (*De Congr. Erud. grat.* § 18), LXX. *τὸ δέκατον.*

xvii. 6. Philo's reading in *De ss. Abelis et Caini* § 18, *ὅδε ἐγώ*, agrees with that of LXX. In *Leg. Allegor.*, *De Migrat. Abr.*, and *De Somn.* he has *ὧδε* for *ὅδε*, as many LXX. cursives, misunderstanding *ὅδε ἐγώ*. Siegfried thinks the *ὧδε* represents שָׁם: but שָׁם is expressed in the *ἐκεῖ* or *ἐκεῖσε*. The variations in the MSS. of the LXX. are very numerous: Codd. A*vidF omit *ἐκεῖ*: *ἐκεῖσε* is read in LXX. Ald. (acc. to H. and P.).

Ὁ δὲ στὰς ἐγὼ πρὸ τοῦ σε (*De Confus. Ling.* § 27, i. 425).

Ὧδε ἐγὼ (ἄδεικτος, ὡς ἂν δεικνύμενος, ἀόρατος, ὡς ἂν ὁρατός, ὢν)—πρὸ τοῦ σε (*De Migrat. Abrah.* § 32, i. 465).

Ὧδε ἐγὼ ἕστηκα κᾀκεῖσε, πρὸ τοῦ σε ἐπὶ τῆς πέτρας ἐγχωρεῖν (*De Somn.* ii. § 32, i. 687).

11 Φησὶ γοῦν ἐν ἑτέροις, ὅτι ὅταν μὲν ἐπῆρε τὰς χεῖρας Μωϋσῆς, κατίσχυεν Ἰσραήλ, ὅταν δὲ καθῆκε, κατίσχυεν Ἀμαλήκ (*Leg. Allegor.* iii. § 66, i. 124).

12 Καὶ γάρ εἰσιν αἱ χεῖρες Μωϋσεῖ βαρεῖαι (*Leg. Allegor.* iii. § 15, i. 96).

Στηρίζονται ὑπό τε Ἀαρὼν τοῦ λόγου καὶ Ὢρ ὅ ἐστι φῶς (*ibid.*).

xviii. 4 Τὸ γὰρ ὄνομα, φησί, τοῦ δευτέρου Ἐλιέζερ...ὁ γὰρ θεός μου βοηθός μου, καὶ ἐξείλετό με ἐκ χειρὸς Φαραώ (*Quis rerum div. heres*, § 12, i. 481).

The reading ἐγχωρεῖν for ἐν Χωρὴβ (*De Somn.* ii. § 32) is a strange instance of an error of transcription. Codd. AF read ἐλθεῖν after πρὸ τοῦ σε.

Philo on the whole supports the text of Cod. B, *Vat. Rom.* ὅδε ἐγὼ ἕστηκα ἐκεῖ πρὸ τοῦ σε ἐπὶ τῆς πέτρας ἐν Χωρήβ.

Ambrose (*De Cain.* i. 8) follows Philo's reading of ὧδε (*Leg. Allegor.*, *De Somn.*): "Ego steti hic priusquam tu."

11. LXX. ὅταν ἐπῆρεν Μωϋσῆς τὰς χεῖρας, κατίσχυεν Ἰσραήλ· ὅταν δὲ καθῆκεν τὰς χεῖρας, κατίσχυεν Ἀμαλήκ.

Philo, by inserting μέν, and omitting the second τὰς χεῖρας, gives the sentence a less Hebraic character.

xviii. 4. ὁ γὰρ θεός μου (*Quis rerum div. heres*, § 12); LXX. ὁ γὰρ θεὸς τοῦ πατρός μου, as Hebr.

ἐξείλετο (*ibid.*), so LXX. in many cursives; Codd. BAF, *Vat. Rom.* ἐξείλατο.

7 Ἐφίλησε γάρ, φησίν, αὐτὸν καὶ ἠσπάσαντο ἀλλήλους (*ibid.* § 8, i. 479).

11 Νῦν ἔγνων, ὅτι μέγας κύριος παρὰ πάντας τοὺς θεούς (*De Ebriet.* § 11, i. 363).

14 Διὰ τοῦτό μοι δοκεῖ καὶ ὁ περισσὸς τύφος, ἐπίκλησιν Ἰοθόρ,...σχετλιάζειν καὶ ἀναπυνθάνεσθαι τὸν τρόπον τοῦτον, Διὰ τί σὺ κάθησαι μόνος; (*De Gigant.* § 11, i. 269).

16 Ἐπειδὰν γένηται αὐτοῖς ἀντιλογία, καὶ ἔλθωσι πρός με, διακρινῶ ἕκαστον, καὶ συμβιβάσω τὰ προστάγματα τοῦ θεοῦ καὶ τὸν νόμον αὐτοῦ (*De Ebriet.* § 10, i. 363).

Ὑφηγούμενος τῷ σοφῷ μὴ ἀναδιδάσκειν ἃ μόνα μανθάνειν ἄξιον, τὰ προστάγματα τοῦ θεοῦ καὶ τὸν νόμον, ἀλλὰ τὰ πρὸς ἀλλήλους ἀνθρώπων συμβόλαια (*De Mutat. Nomin.* § 17, i. 594).

18 Ὁ πενθερὸς...συνιδὼν ὅσῳ βάρει πιέζεται πραγμάτων (*De Instit.* § 5, ii. 365).

25 Ἀφ' οὗ μοι δοκεῖ καὶ Μωσῆς μετὰ τὴν χιλιάρχων καὶ ἑκατοντάρχων καὶ πεντηκοντάρχων αἵρεσιν, ἐπὶ

---

7. Ἐφίλησε (*Quis rerum div. heres*, § 8). The previous sentence refers to the salutation of Moses and Aaron. A clause may have slipped out; or Philo makes a wrong citation.

14. A paraphrase of the passage, *vv.* 15—26, is given in *De Instit.* § 5.

16. Ἐπειδὰν (*De Ebriet.* § 10); LXX. ὅταν.

ἔλθωσι (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.;* ἔλθωσιν Cod. A; εἰσέλθωσιν Cod. F.

συμβιβάσω (*ibid.*), LXX. συμβιβάζω αὐτούς.

In *De Mutat. Nomin.* § 17, Philo, by an error of memory, misapprehends the whole bearing of the passage. See Mangey's note *in loc.* "Forte delendum μή, et scribendum infra ἀλλὰ μή."

πᾶσι δεκαδάρχους χειροτονεῖν (*De Congr. Erud. grat.* § 19, i. 535).

xix. 4 [Levavi vos sicut super alas aquilarum, et duxi vos ad me (*De Deo*, § 11, A. ii. 618).]

6 *Οὗτος τῶν δώδεκα κατάρχει φυλῶν, ἃς οἱ χρησμοὶ βασίλειον καὶ ἱεράτευμα θεοῦ φασιν εἶναι* (*De Sobriet.* § 13, i. 402).

Τὴν δὲ περίσεμνον τριάδα καὶ περιμάχητον ἑνὸς εἴδους ἐπιλεγομένου, Βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον, οἱ χρησμοὶ καλοῦσι (*De Abrah.* § 12, ii. 9).

17 *Καὶ γὰρ Μωϋσῆς ἐξάγει τὸν λαὸν εἰς συνάντησιν τοῦ θεοῦ* (*De Somn.* i. § 12, i. 631).

18 *Καὶ ἐν Ἐξόδῳ κατὰ τὴν ἐκκλησίαν, Τὸ γὰρ ὄρος, φησί, τὸ Σινᾶ ἐκαπνίζετο πᾶν αὐτό, διὰ τὸ καταβεβηκέναι τὸν θεὸν ἐπ' αὐτὸ ἐν πυρί, καὶ ἀνέβαινεν ὁ καπνὸς ὡσεὶ ἀτμὶς καμίνου· καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα* (*Quis rerum div. heres*, § 51, i. 509).

---

25. *δεκαδάρχους* (*De Congr. Erud. grat.* § 19). Philo does not allude to the *καὶ γραμματοεισαγωγεῖς* of LXX. Codd. AF.

xix. 6. *Βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον.* Philo (*De Abrah.*) follows the text of the LXX. But he probably distinguishes *βασίλειον* from *ἱεράτευμα*; for in *De Sobriet.* § 13 he has *βασίλειον καὶ ἱεράτευμα*, and explains *βασίλειον* by the words: *βασίλειον γὰρ ὁ βασιλέως δήπουθεν οἶκος.*

18. *πᾶν αὐτὸ* (*Quis rerum div. heres*, § 51); LXX. *ὅλον* ("+*αυτο* in charact. minore Alex." H. and P.).

τὸν θεὸν ἐπ' αὐτὸ ἐν πυρί. This order is found in LXX. Cod. F (*τὸν κύριον* for *τὸν θεὸν*): Cod. B, *Vat. Rom.* *ἐπ' αὐτὸ τὸν θεὸν ἐν πυρί*: Cod. A *τὸν θεὸν ἐν πυρὶ ἐπ' αὐτό.*

καὶ ἀνέβαινεν (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.; ἀνέβ. δὲ* Codd. AF.

ὡσεὶ ἀτμὶς καμίνου (*ibid.*); LXX. *ὡς καπνὸς καμίνου*: *ἀτμὶς* is the reading of several cursives, and marg. of Cod. Coislin. (H. and P.).

19 Μωϋσῆς γάρ, φησίν, ἐλάλει καὶ ὁ θεὸς ἀπεκρίνατο αὐτῷ ἐν φωνῇ (*ibid.* § 5, i. 475).

20 Τοιγαροῦν Μωϋσῆς ὁ ταμίας καὶ φύλαξ τῶν τοῦ ὄντος ὀργίων ἀνακεκλήσεται, λέγεται γὰρ ἐν Λευιτικῇ βίβλῳ· Ἀνεκάλεσε Μωϋσῆν (*De Plantat. Noe*, § 6, i. 333).

xx. 2 Οὐκοῦν κύριος ἀφρόνων ἐπιδέδεικται, τὸν ἄρχοντος ἐπανατεινάμενος οἰκεῖον φόβον·...τελείων δὲ ἀμφότερον, κύριος ὁμοῦ καὶ θεός, ὡς ἐν δέκα λόγοις· Ἐγὼ κύριος ὁ θεός σου (*De Mutat. Nomin.* § 3, i. 582).

5 Ἵνα καὶ τὸ ἑτέρωθι λεχθὲν ἐπαληθεύῃ, τό, Ἀποδιδοὺς ἀνομίας πατρῶν ἐπὶ υἱούς, ἐπὶ τρίτους καὶ τετάρτους (*De Sobriet.* § 10, i. 400).

7 Μὴ λαμβάνειν ὄνομα θεοῦ ἐπὶ ματαίῳ (*De Decem Orac.* § 17, ii. 194).

9 Διείρηται γοῦν ἓξ ἡμέρας ἐνεργεῖν (*De Septen.* § 6, ii. 282).

---

19. ἐλάλει (*ibid.* § 5), so LXX. Codd. AF; ἐλάλησεν Cod. B, *Vat. Rom.* Orig. *Philocal.* cap. xxi., *De Princip.* iii. 21 Μωσῆς γὰρ ἐλάλει, ὁ δὲ θεὸς αὐτῷ ἀπεκρίνατο φωνῇ.

ἐν φωνῇ (*ibid.*), LXX. φωνῇ. Philo's ἐν φωνῇ looks like the earlier rendering of בקול.

20. Ἀνεκάλεσε (*De Plantat. Noe*, § 6), LXX. ἐκάλεσεν. "Atqui Philonem ἀνεκάλεσεν in suo Codice legisse, ex hoc loco constat" (Mangey). Philo seemingly refers to this passage, but quotes Lev. i. 1. Philo says his quotation is found ἐν Λευιτικῇ βίβλῳ, possibly through a slip of the memory; but it may be best understood by comparing Ex. xix. 20, xxxi. 2, and Lev. i. 1 in the LXX.

xx. 5. ἀνομίας (*De Sobriet.* § 10), LXX. ἁμαρτίας.

ἐπὶ τρίτους κ.τ.λ. (*ibid.*), LXX. ἕως τρίτης καὶ τετάρτης γενεᾶς. Philo follows the Hebrew, על־שלשים ועל־רבעים.

7. ὄνομα θεοῦ (*De Decem Orac.*), loosely quoted: cf. *Ep. Barn.* xix. 5 τὸ ὄνομα κυρίου. LXX. τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου.

12 Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, ἵνα εὖ σοι γένηται (*Quod det. pot. insid.* § 16, i. 201).

Τίμα πατέρα καὶ μητέρα, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχόνιος γένῃ (*De Parent. colend.* § 11, A. M. 33).

13 Ἕκαστον θεσπίζειν τῶν δέκα λογίων ἠξίωσεν, ὡς οὐχὶ πρὸς πλείους, ἀλλὰ ὡς πρὸς ἕνα, οὐ μοιχεύσεις, λέγων,
14, 15 οὐ φονεύσεις, οὐ κλέψεις, καὶ τὰ ἄλλα ταύτῃ (*De Decem Oraculis*, § 10, ii. 186).

Ἐν δὲ τῇ δευτέρᾳ δέλτῳ πρῶτον γράμμα τοῦτό ἐστιν· Οὐ μοιχεύσεις (*De special. Legg.* iii. 2, ii. 300).

Τὰ μὲν ἐπὶ μοιχείᾳ καὶ ἀνδροφονίᾳ καὶ ὅσα ἑκατέρᾳ τούτων ὑποστέλλει νόμιμα, μεθ' ἁπάσης ἀκριβείας, ὥς γε ἐμαυτὸν πείθω, λέλεκται πρότερον. Τὸ δὲ ἑπόμενον τῇ τάξει συνεπισκεπτέον, ὅ τι τρίτον μέν ἐστι τῶν ἐπὶ τῇ δευτέρᾳ στήλῃ, ταῖς δὲ ἐν ἀμφοτέραις ὄγδοον, περὶ τοῦ μὴ κλέπτειν (*ibid.* iv. § 1, ii. 335).

16 Οὐ ψευδομαρτυρήσεις (*ibid.* iv. § 8, ii. 342).

17 Ὑπὲρ δὲ τοῦ μὴ μακρηγορεῖν ἰτέον ἐπὶ τὸ τελευταῖον τῶν δέκα λογίων....Τοῦτο δὲ ἐστίν· Οὐκ ἐπιθυμήσεις (*De Judice*, § 5, ii. 348).

18 Πᾶς ὁ λαὸς ἑώρα τὴν φωνήν (*De Migrat. Abrah.* § 9, i. 443; *De Decem Oraculis*, § 11, ii. 188).

19 Λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός,

---

12. ἵνα εὖ σοι γένηται (*De Parent. colend.* § 11), om. LXX. Cod. A.

13. Philo makes οὐ μοιχεύσεις the sixth commandment; so LXX. Cod. B, *Vat. Rom.* This is the order in Mark x. 19, Luke xviii. 20, Rom. xiii. 9, cf. Tertullian *De Pudicit.* cap. v. Eo amplius praemittens, Non moechaberis, adjungit, Non occides. The Hebrew order is found in LXX. Codd. AF, in Matt. v., Josephus *Ant.* iii. 5, *Didache* ii. 2, Orig. *Philocal.* i., *De Princip.* iv. 20.

μὴ ἀποθάνωμεν (*De Posterit. Caini*, § 43, i. 253; *De Somn.* i. 22, i. § 642).

Λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός, μήποτε ἀποθάνωμεν (*Quis rerum div. heres*, § 5, i. 475).

21 Ἤδη γοῦν καὶ εἰς τὸν γνόφον ὅπου ἦν ὁ θεὸς εἰσελεύσεται· τουτέστιν εἰς τὰς ἀδύτους καὶ ἀειδεῖς περὶ τοῦ ὄντος ἐννοιας (*De Posterit. Caini*, § 5, i. 228; *De Mutat. Nomin.* § 2, i. 579).

22 Ὑμεῖς ἑωράκατε, ὅτι ἐκ τοῦ οὐρανοῦ λελάληκα πρὸς ὑμᾶς (*De Migrat. Abrah.* § 9, i. 443).

23 Λέγει δὲ καὶ ἐν ἑτέροις· Οὐ ποιήσετε μετ' ἐμοῦ θεοὺς ἀργυροῦς, καὶ θεοὺς χρυσοῦς οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς (*Leg. Allegor.* i. § 15, i. 53).

Οὐ ποιήσετε ὑμῖν θεοὺς ἀργυροῦς καὶ χρυσοῦς (*De Monarch.* i. § 2, ii. 214).

24 Ἥξω πρός σε καὶ εὐλογήσω σε (*Leg. Allegor.* iii. § 76, i. 130).

25 Τί ἐστι τὸ ἐγχειρίδιόν σου καὶ τὰ ἑξῆς; (*Fragment. ex Caten. Ined.* ii. 677).

27 [Quid est, "Quia manus instrumentum injecisti supra illud et inquinatum est"? (*Quaestt. et Sol. in Ex.*, *Sermo* ii. § 1, A. ii. 468).]

---

19. μὴ ἀποθάν. (*De Posterit. Cain.* § 43), so LXX. Cod. B, *Vat. Rom.*; μήποτε ἀποθάν. (*Quis rerum div. heres*, § 5), so LXX. Codd. AF.

21. ὅπου ἦν (*De Posterit. Cain.* § 5); LXX. οὗ ἦν: + ἐκεῖ Cod. A. For ὅπου, cf. Clem. Alex. *Strom.* v. p. 692 εἰσῆλθεν δὲ Μωϋσῆς εἰς τὸν γνόφον ὅπου ἦν ὁ θεός.

23. Οὐ ποιήσετε μετ' ἐμοῦ (*Leg. Allegor.* i. § 15), Οὐ ποιήσετε ὑμῖν (*De Monarch.* i. § 2): LXX. οὐ ποιήσετε ὑμῖν αὐτοῖς (ἑαυτοῖς Codd. AF). Philo's μετ' ἐμοῦ gives the Hebrew לֹא תַעֲשׂוּן אִתִּי.

xxi. 5 Ἠγάπηκα τὸν κύριόν μου καὶ τὴν γυναῖκά μου καὶ τὰ παιδία μου· οὐκ ἀποτρέχω ἐλεύθερος (*Leg. Allegor.* iii. § 70, i. 126).

Ἠγάπηκά μου τὸν κύριον, τὸν ἡγεμόνα ἐν ἐμοὶ νοῦν, καὶ τὴν γυναῖκά μου, τὴν φίλην καὶ οἰκουρὸν παθῶν αἴσθησιν, καὶ τὰ παιδία, τὰ κακὰ τούτων ἔγγονα· οὐκ ἄπειμι ἐλεύθερος (*Quis rerum div. heres*, § 38, i. 499).

5, 6 Εἰ γάρ, φησίν, ἀποκριθεὶς εἴποι ὁ παῖς· Ἠγάπηκα τὸν κύριόν μου καὶ τὴν γυναῖκά μου καὶ τὰ παιδία, οὐκ ἐξελεύσομαι ἐλεύθερος· ἀχθεὶς πρὸς τὸ κριτήριον τοῦ θεοῦ, καὶ δικάστου τυχὼν αὐτοῦ, βέβαιον σχήσει ὃ ᾐτήσατο, πρότερον τρυπηθεὶς τὸ οὖς ἵνα μὴ δέξηται θείαν ἀκοὴν ὑπὲρ ἐλευθερίας ψυχῆς (*De Cherub.* § 22, i. 152).

Διὸ *καὶ προστέτακται πᾶσι τοῖς ἱερωμένοις νηφάλια θύειν* (*De Justit.* § 8, ii. 367).

16 Καὶ *τὸν χίμαρον τὸν περὶ ἁμαρτίας ὁ φιλάρετος ζητεῖ μὲν, οὐχ εὑρίσκει δέ· ἤδη γὰρ ὡς δηλοῖ τὸ λόγιον ἐνεπέπρητο* (*De Profug.* § 28, i. 569).

Φησὶν *οὖν ὁ χρησμός, ὅτι ζητῶν ἐξεζήτησε* Μωσῆς, *ἐν τῷ θνητῷ βίῳ τὸν περὶ ἁμαρτημάτων μετανοίας λόγον* (*ibid.*).

20 Διὸ *λέγεται· ἤκουσε* Μωϋσῆς *καὶ ἤρεσεν αὐτῷ* (*ibid.*).

xi. 3 Βάσανον *δὲ καὶ δοκιμασίαν τῶν δέκα ζώων ὑπογράφεται κοινῇ κατὰ διττὰ σημεῖα, τό τε διχηλεῖν καὶ τὸ μηρυκᾶσθαι* (*De Concupisc.* § 5, ii. 353).

---

9. *μετά σε* (*De Ebriet.* § 32); LXX. *μετὰ σοῦ.* So Mangey, apparently against the MSS.

προσπορεύησθε (*ibid.*); LXX. *προσπορευομένων ὑμῶν.*

τῷ θυσιαστηρίῳ (*ibid.*); LXX. *πρὸς τὸ θυσιαστήριον.*

10. LXX. *τῶν ἁγίων κ. τῶν βεβήλ....τῶν ἀκαθάρτων κ. τῶν καθαρῶν.*

16. *ἐνεπέπρητο* (*De Profug.* § 28); LXX. Codd. AF, *Vat. Rom.* *ἐμπεπύριστο*: Cod. B*(vid) *ἐνπεπύριστο*; Cod. B[a] *ἐνεπεπύριστο.*

4 Τὸν κάμηλον οὐχ ὁρᾷς, ὅτι ἀκάθαρτόν φησιν εἶναι ζῶον ὁ νόμος, ἐπειδὴ μηρυκᾶται μέν, οὐ διχηλεῖ δέ; (*De Agricult.* § 30, i. 320).

7 Τὸν γὰρ ὗν ἀκάθαρτον εἶναί φησιν, ὅτι διχηλεῖ μέν, οὐ μηρυκᾶται δέ (*ibid.* § 32, i. 322).

9 Τῶν ἐνύδρων τὰ πρὸς ἐδωδὴν καθαρὰ...σημειωσάμενος καὶ ταῦτα διττοῖς χαρακτῆρσι· [πτερυγίοις] καὶ λεπίσι (*De Concupisc.* § 7, ii. 354).

21 Ταῦτα φάγεσθε ἀπὸ τῶν ἑρπετῶν τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τεσσάρων, ἃ ἔχει σκέλη ἀνωτέρω τῶν ποδῶν, ὥστε πηδᾶν ἐν αὐτοῖς ἀπὸ γῆς (*Quis rerum div. heres*, § 49, i. 506).

Παραινεῖ μέντοι ὁ ἱερὸς λόγος ἐν Λευιτικῷ ἀπὸ τῶν ἑρπετῶν, ἃ πορεύεται ἐπὶ τεσσάρων, ἃ ἔχει σκέλη ἀνώτερον
22 τῶν ποδῶν, ὥστε πηδᾶν ἐν αὐτοῖς, σιτεῖσθαι, ὧν ἐστιν ὁ βροῦχος, καὶ ὁ ἄττακος, καὶ ἀκρίς, καὶ τέταρτον ὁ ὀφιομάχης (*Leg. Allegor.* ii. 26, i. 85).

31 Οὗ χάριν ἁγνεύειν οὐδένα πρὸ ἑσπέρας φησὶν ὁ ἱερὸς λόγος δύνασθαι (*De Somn.* i. § 14, i. 633).

---

xi. 7. οὐ μηρυκᾶται δέ (*De Agricult.* § 32); LXX. καὶ τοῦτο οὐκ ἀνάγει μηρυκισμόν.

9. LXX. πάντα ὅσα ἐστὶν αὐτοῖς πτερύγια καὶ λεπίδες ἐν τοῖς ὕδασιν.

21. ἐπὶ τεσσάρων ἃ (*Quis rerum div. heres*, § 49); LXX. ἐπὶ τέσσερα. Philo has the gen. in both quotations.

ἀνωτέρω (*ibid.*); ἀνώτερον (*Leg. Allegor.* ii. § 26), so LXX. Codd. BA, *Vat. Rom.*; Cod. F ἐπ' ἀνώτερα.

ποδῶν ὥστε (*ibid.*); LXX. ποδῶν αὐτοῦ. Philo inserts ὥστε in both quotations.

ἀπὸ γῆς (*Quis rerum div. heres*, § 49); LXX. ἐπὶ τῆς γῆς.

22. ὁ ἄττακος (*Leg. Allegor.* ii. § 26), LXX. τὸν ἀττάκην.

42 *Διὸ καί φησιν ἑτέρωθι· Πᾶς ὁ πορευόμενος ἐπὶ κοιλίᾳ, πᾶς ὁ πορευόμενος ἐπὶ τεσσάρων διὰ παντός, ὃς πολυπληθεῖ ποσίν, ἀκάθαρτός ἐστι* (*Leg. Allegor.* iii. § 47, i. 114).

Ἃ γάρ, φησί, πολυπληθεῖ ποσὶν ἐπὶ πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἐπὶ τῆς γῆς, οὐ φάγεσθε, ὅτι βδελύγματά ἐστιν... Πάντα γὰρ τὸν πορευόμενον ἐπὶ κοιλίαν ἀκάθαρτον εἶναί φησι, τὸν τὰς τῆς γαστρὸς ἡδονὰς μεταδιώκοντα αἰνιττόμενος (*De Migrat. Abrah.* § 12, i. 445, 446).

xiii. 3 (Paraphr.) *Ὅταν γὰρ ἡ ὄψις ταπεινοτέρα φαίνηται..., τὴν χαλεπὴν νόσον, λέπραν, ὁ νομοθέτης φησὶ γενέσθαι* (*De Posterit. Caini*, § 13, i. 234).

11, 12 *Διὸ καὶ παραδοξότατον νόμον ἀναγράφει, ἐν ᾧ τὸν μὲν ἐκ μέρους ὄντα λεπρὸν καὶ ἀκάθαρτον, τὸν δὲ ὅλον δι' ὅλων ἀπὸ ἄκρων ποδῶν μέχρι κεφαλῆς ἐσχάτης κατεσχημένον τῇ λέπρᾳ, καθαρόν φησιν εἶναι* (*Quod Deus immutab.* § 27, i. 291).

Παρ' ὃ καὶ ἐν τῷ περὶ τῆς λέπρας ταχθέντι νόμῳ διείρηται, τὸν μηκέτι διηνθισμένον ποικιλίᾳ χρωμάτων, ὅλον δὲ λευκωθέντα δι' ὅλων ἀπὸ κεφαλῆς ἕως ποδῶν ἄκρων, καθαρὸν εἶναι (*De Plantat. Noe*, § 26, i. 346).

Ἐὰν διαχέηται ἐν τῷ δέρματι, μιανεῖ ὁ ἱερεύς. Ἐὰν

---

42. *ἐπὶ κοιλίᾳ, πᾶς* (*Leg. Allegor.* iii. § 47); LXX. *ἐπὶ κοιλίας, καὶ πᾶς.*

ἐπὶ τεσσάρων (*ibid.*), so LXX. B[b]F : *ἐπὶ τεσσέρων* B[a]; *ἐπὶ τέσσαρα* Codd. B*A, *Vat. Rom.*

ὃs (*ibid.*), *ἃ* (*De Migrat. Abrah.* § 12); *ὃ* LXX.

τοῖς ἐπὶ τῆς γῆς (*De Migrat. Abrah.* § 12); LXX. *τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς.*

φάγεσθε (*ibid.*); LXX. + *αὐτό.*

βδελύγματά ἐστιν (*ibid.*); LXX. *βδέλυγμα ὑμῖν ἐστίν.*

δὲ κατὰ χώραν μείνῃ τὸ τηλαύγημα, καὶ μὴ διαχέηται, καθαριεῖ (*De Sobriet.* § 10, i. 400).

14 *Διὰ τοῦτο ἐν τῷ νόμῳ τῆς λέπρας ἀκριβέστατα διείρηται, ὅτι ἐὰν ἀνατείλῃ χρὼς ζῶν ἐν τῷ λεπρῷ,*
15 *μιανθήσεται...καὶ μιανεῖ ὁ χρὼς ὁ ὑγιής* (*Quod Deus immutab.* § 27, i. 291).

xiv. 35, 36 *Φησὶ γάρ, ὅτι ἐὰν γένηται ἀφὴ λέπρας ἐν οἰκίᾳ, ἀφίξεται ὁ κεκτημένος, καὶ ἀναγγελεῖ τῷ ἱερεῖ, λέγων, Ὥσπερ ἀφὴ λέπρας ἑώραταί μοι ἐν τῇ οἰκίᾳ. Εἶτα*
36 *ἐπιφέρει· Καὶ προστάξει ὁ ἱερεὺς ἀποσκευάσαι τὴν οἰκίαν, πρὸ τοῦ εἰσελθόντα τὸν ἱερέα εἰς τὴν οἰκίαν ἰδεῖν, καὶ οὐ γενήσεται ἀκάθαρτα ὅσα ἐν τῇ οἰκίᾳ· καὶ μετὰ ταῦτα εἰσελεύσεται ὁ ἱερεὺς καταμαθεῖν* (*Quod Deus immutab.* § 28, i. 292).

36 ff. *Διὰ τοῦτο τῷ νόμῳ τῆς λέπρας, ὅταν ἐν οἰκίᾳ κοιλάδες χλωρίζουσαι ἢ πυῤῥίζουσαι φανῶσι, διείρηται τοὺς λίθους ἐν οἷς γεγόνασιν ἐξελόντας, ἑτέρους ἀντιτιθέναι* (*Quod det. pot. insid.* § 6, i. 194).

---

xiii. 14. *ἐὰν ἀνατείλῃ* (*Quod Deus immutab.* § 27); LXX. *ᾗ ἂν ἡμέρᾳ ὀφθῇ ἐν αὐτῷ χρὼς ζῶν.*

15. *μιανεῖ* (*ibid.*); LXX. + *αὐτόν.*

xiv. 35. LXX. *καὶ ἥξει τίνος αὐτοῦ ἡ οἰκία καὶ ἀναγγελεῖ* (*ἀναγγείλῃ* Cod. A).

ἀφὴ λέπρας 2° (*Quod Deus immutab.* § 28); LXX. *ἀφή.*

μοι (*ibid.*), so LXX. *Vat. Rom.*; *μου* LXX. Codd. BAF.

36. LXX. *εἰσελθόντα ἰδεῖν τὸν ἱερέα τὴν οἰκίαν.*

Philo by putting *ἰδεῖν* after *οἰκίαν*, seems to have read בטרם יבא הכהן אל־חבית (Siegfried).

LXX. *καὶ οὐ μὴ ἀκάθαρτα γένηται, ὅσα ἐὰν ᾖ ἐν τῇ οἰκίᾳ.*

καταμαθεῖν (*ibid.*); LXX. + *τὴν οἰκίαν.*

Cod. Vat. (Philo) has *ἰδεῖν* for *καταμαθεῖν*, according to Mangey.

xv. 31 Εὐλαβεῖς γάρ, φησὶ Μωϋσῆς, ποιήσετε τοὺς υἱοὺς τοῦ ὁρῶντος (*Leg. Allegor.* iii. § 4, i. 90).

xvi. 3, 4 Τούτου χάριν ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων οὐκ εἰσελεύσεται ἐν τῷ ποδήρει, ἀλλὰ τὸν τῆς δόξης καὶ φαντασίας ψυχῆς χιτῶνα ἀποδυσάμενος (*Leg. Allegor.* ii. § 15, i. 76).

7 Τότε γὰρ διείρηται δύο τράγους διακληροῦν, τὸν μὲν τῷ κυρίῳ, τὸν δὲ τῷ ἀποπομπαίῳ (*De Plantat. Noe*, § 14, i. 338).

7, 8 Οὐχ ὁρᾷς ὅτι καὶ τῇ δεκάτῃ τοῦ μηνὸς κελεύει δύο τράγους κλῆρον προσάγειν, κλῆρον ἕνα τῷ κυρίῳ, καὶ κλῆρον ἕνα τῷ ἀποπομπαίῳ (*Leg. Allegor.* ii. § 15, i. 75).

10 Στήσει γὰρ αὐτόν, φησί, ζῶντα ἐναντίον κυρίου τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ, ὥστε ἐξαποστεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν (*De Posterit. Caini*, § 20, i. 238).

17 Καὶ ὁ ἱερεὺς μέντοι, ἄνθρωπος οὐκ ἔσται κατ' αὐτόν, ὅταν εἰσίῃ εἰς τὰ ἅγια τῶν ἁγίων, ἕως ἂν ἐξέλθῃ (*Quis rerum div. heres*, § 16, i. 484).

---

xv. 31. τοῦ ὁρῶντος (*Leg. Allegor.* iii. § 4); LXX. Ἰσραήλ. Philo constantly speaks of Israel as ὁ ὁρῶν.

xvi. 10. ζῶντα ἐναντίον κυρίου (*De Posterit. Caini*, § 20); LXX. Codd. AF, *Vat. Rom.* ζῶντα ἔναντι κυρίου; Cod. B ἔναντι κυρίου ζῶντα.

ἐξαποστεῖλαι (*ibid.*), so LXX. Cod. F: ἀποστεῖλαι Codd. BA, *Vat. Rom.*

17. ἄνθρωπος...ὅταν εἰσίῃ εἰς τὰ ἅγια τῶν ἁγίων. So Philo in all three passages. LXX. πᾶς ἄνθρωπος...εἰσπορευομένου αὐτοῦ ἐξιλάσασθαι ἐν τῷ ἁγίῳ.

Philo's mystical explanation that the High Priest is not 'man' (cf. Orig. *In Levit. Homil.* ix. Jam non erit homo, sed secundum verbum ipsius erit tanquam angelus Dei) is based on the omission of the word πᾶς.

ἕως ἂν ἐξέλθῃ (*Quis rerum div. heres*, § 16: *De Somn.* ii. § 34); so LXX. Codd. BF, *Vat. Rom.*; ὡς ἂν ἐξ. Cod. A.

῞Οταν γάρ, φησίν, εἰσίῃ εἰς τὰ ἅγια τῶν ἁγίων ὁ ἀρχιερεύς, ἄνθρωπος οὐκ ἔσται (*De Somn.* ii. § 28, i. 684).

῞Οταν γάρ, φησίν, εἰσίῃ εἰς τὰ ἅγια τῶν ἁγίων, ἄνθρωπος οὐκ ἔσται ἕως ἂν ἐξέλθῃ (*ibid.* § 34, i. 689).

xvii. 11 Ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμά ἐστιν (*Quod det. pot. insid.* § 22, i. 206; cf. *De Concupisc.* § 10, ii. 356).

xviii. 1—5 Καὶ εἶπε κύριος πρὸς Μωσῆν λέγων, Λάλησον
2 τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς· Ἐγὼ κύριος
3 ὁ θεὸς ὑμῶν· κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου ἐν ᾗ
κατῳκήσατε ἐν αὐτῇ, οὐ ποιήσετε, καὶ τοῖς νομίμοις αὐτῶν
4 οὐ πορεύσεσθε· τὰ κρίματά μου ποιήσετε, καὶ κατὰ τὰ
ἐπιτηδεύματα γῆς Χαναάν, εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ,

---

xvii. 11. αἷμά ἐστιν (*Quod det. pot. insid.* § 22); LXX. αἷμα αὐτοῦ ἐστίν.

xviii. 3. τῆς Αἰγύπτου (*De Congr. Erud. grat.* § 16); LXX. Codd. BAF γῆς Αἰγύπτου: *Vat. Rom.* Αἰγύπτου.

Clem. Alex. (*Strom.* p. 176. 7), quoting this passage of Philo, gives τῆς Αἰγύπτ.

κατῳκήσατε (*ibid.*), so LXX. Cod. A, *Vat. Rom.*; κατοικήσατε Cod. B, παρῳκήσατε Cod. F.

ἐν αὐτῇ (*ibid.*); LXX. Cod. B, *Vat. Rom.* ἐπ' αὐτῇ; ἐπ' αὐτῆς Codd. B[ab]AF.

ποιήσετε (*ibid.*), so LXX. Codd. AF, *Vat. Rom.*; ποιήσεται B[ab]; ποιηθήσεται B*.

The reading ποιήσετε has led to the omission, by homoeoteleuton, of the whole sentence καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναάν, εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε. See next verse.

καὶ τοῖς (*ibid.*), so LXX. Codd. BF, *Vat. Rom.*; καὶ ἐν τοῖς Cod. A.

4. καὶ κατὰ τὰ ἐπιτηδ....ποιήσετε (*ibid.*) has no place here in the LXX.; and has been wrongly inserted, perhaps from a gloss upon the omission in the previous verse.

οὐ ποιήσετε· καὶ τὰ προστάγματά μου φυλάξεσθε, πορεύ-
5 εσθε ἐν αὐτοῖς· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. Καὶ φυλάξασθε
πάντα τὰ προστάγματά μου καὶ τὰ κρίματά μου, καὶ
ποιήσετε αὐτά. ὁ ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς· ἐγὼ
κύριος ὁ θεὸς ὑμῶν. Καὶ φυλάξασθε πάντα τὰ προστάγ-
ματά μου καὶ τὰ κρίματά μου (*De Congr. Erud. grat.* § 16,
i. 531).

6 Ἄνθρωπος ἄνθρωπος πρὸς πάντα οἰκεῖον σαρκὸς αὐτοῦ οὐ προσελεύσεται ἀποκαλύψαι ἀσχημοσύνην· ἐγὼ κύριος (*De Gigant.* § 8, i. 267).

7 Οὗ χάριν ἀπαγορεύει Μωϋσῆς ἀσχημοσύνην πατρὸς καὶ μητρὸς ἀποκαλύπτειν (*De Profug.* § 34, i. 575).

xix. 3 Ἕκαστος πατέρα τε ἑαυτοῦ καὶ μητέρα φοβείσθω (*De Parent. colend.* § 6, tom. v. p. 58 Tauchn.).

πορεύεσθε (*ibid.*), so LXX. Cod. A: καὶ πορεύεσθε Cod. F, *Vat. Rom.*; πορεύεσθαι Cod. B.

5. φυλάξασθε (*ibid.*), so LXX. Cod. F; φυλάξασθαι Cod. A; φυλάξεσθε Cod. B, *Vat. Rom.*

τὰ κρίμ. (*ibid.*); LXX. pr. πάντα.

ὁ ποιήσας αὐτά (*ibid.*); LXX. Codd. BAF ἃ ποιήσας ἄνθρωπος; *Vat. Rom.* ἃ ποιήσας αὐτὰ ἄνθρωπος.

Philo's reading is found in Cat. Niceph.

The concluding clause καὶ φυλάξασθε...μου is a copyist's accidental repetition.

6. οἰκεῖον (*De Gigant.* § 34); LXX. Cod. A, *Vat. Rom.* οἰκεῖα; Cod. B οἰκία; Cod. F οἰκίας.

οἰκεῖον is read in several cursives, and in Basil, *Ep.* CLX. § 4.

Cod. Vat. *De Gigant.* § 34 reads πρὸς πᾶσαν σάρκα οἰκείαν αὐτοῦ.

Procop. Gaz. (Lat. Trans.) "Nullus ad propinquum carnis suae accedat" (*Comm. in Lev.*).

xix. 3. LXX. ἕκαστος πατέρα αὐτοῦ καὶ μητέρα αὐτοῦ φοβείσθω (om. καὶ μητέρα αὐτοῦ Cod. A). Procop. Gaz. ἕκαστος τὸν ἑαυτοῦ πατέρα καὶ μητέρα φοβείσθω (*Comm. in Levit.*).

4 (Paraphr.) Καὶ διαφθείρειν τοὺς ἀλλοτρίους τῆς ψυχῆς τοὺς θεοὺς τοὺς χωνευτούς, θεοὺς οὓς ἀπήγορευκε Μωσῆς δημιουργεῖν (*Leg. Allegor.* iii. § 7, i. 92).

Πρὸς οὓς καὶ ἐν ἑτέροις φησίν· Οὐκ ἀκολουθήσετε εἰδώλοις, καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσετε (*De Monarch.* i. § 2, ii. 215).

9 Λέγεται οὖν· Ὅταν θερίζητε τὸν θερισμὸν ὑμῶν, οὐ συντελέσετε τὸ λοιπὸν τοῦ θερισμοῦ (*De Somn.* ii. § 4, i. 662).

11 Οὐ κλέψετε, οὐ ψεύσεσθε, καὶ οὐ συκοφαντήσετε τοὺς
12 πλησίον ὑμῶν. Καὶ οὐκ ὀμεῖσθε ἐπὶ τῷ ὀνόματί μου ἐπ' ἀδίκῳ, καὶ τὸ ἐμὸν ὄνομα οὐ βεβηλώσετε (*De Special. Legg.* iv. 7, ii. 342).

13 Διατέτακται, Μισθὸν πένητος αὐθημερὸν ἀποδιδόναι (*De Humanit.* § 7, ii. 389).

14 Εὖ μέντοι καὶ ἐκεῖνο διείρηται, ὅπως μηδένα βλασφημῇ καὶ κακηγορῇ, καὶ μάλιστα κωφόν (*De Justit.* § 10, ii. 368).

16 Μὴ πορεύεσθαι δόλῳ ἐν τῷ ἔθνει (*ibid.* § 7, ii. 366).

---

4. ἀπηγόρευκε (*Leg. Allegor.* iii. § 7), so *ed.* Tauchn.: Mangey's text has ἀπηγόρευε.

ἀκολουθήσετε (*De Monarch.* i. § 2); LXX. ἐπακολουθήσετε. As Philo, '32, Compl.' (H. and P.).

ποιήσετε (*ibid.*); + ὑμῖν LXX.

9. LXX. Codd. B[ab mg]F, *Vat. Rom.* καὶ ἐκθεριζόντων ὑμῶν τὸν θερισμὸν τῆς γῆς ὑμῶν οὐ συντελέσετε τὸν θερισμὸν ὑμῶν τοῦ ἀγροῦ σου ἐκθερίσαι; but om. οὐ συντ. τ. θερισμ. ὑμ. Codd. B*A.

Philo's τὸ λοιπὸν τοῦ θερισμοῦ renders פאת שדך.

11. καὶ οὐ συκοφαντήσετε (*De Special. Legg.* iv. § 7); LXX. B*A οὐ (ουδε B[ab]F, *Vat. Rom.*) συκοφαντήσει ἕκαστος.

τοὺς πλησίον ὑμῶν (*ibid.*); LXX. τὸν πλησίον.

12. ἐπὶ τῷ ὀνόμ. μου (*ibid.*); LXX. τῷ ὀνόμ. μου.

καὶ τὸ ἐμὸν κ.τ.λ. (*ibid.*); LXX. Codd. BAF, *Vat. Rom.* καὶ οὐ βεβηλώσετε (-ται A) τὸ ὄνομα (+τὸ ἅγιον F, *Vat. Rom.*) τοῦ θεοῦ ὑμῶν.

23 Κελεύει καθαρίσαι τὴν ἀκαθαρσίαν αὐτοῦ (*Leg. Allegor.* i. § 15, i. 53).

Ἑπομένους τῷ χρησμῷ ἐν ᾧ διείρηται περιαιρεῖν τὴν ἀκαθαρσίαν ξύλου τοῦ φυτευθέντος ἐδωδίμου (*De Plantat. Noe*, § 25, i. 345).

Καὶ μὴν φησί γε· Ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται, ἀπερικάθαρτος, οὐ βρωθήσεται (*ibid.* § 27, i. 346).

23–25 Φησὶ γάρ· Ὅταν εἰσέλθητε εἰς τὴν γῆν, ἣν κύριος ὁ
θεὸς δίδωσιν ὑμῖν, καὶ καταφυτεύσητε πᾶν ξύλον βρώσεως,
περικαθαριεῖτε τὴν ἀκαθαρσίαν αὐτοῦ, τὸν καρπὸν αὐτοῦ·
24 τρία ἔτη ἔσται ἀκάθαρτος, οὐ βρωθήσεται· τῷ δὲ ἔτει τῷ
τετάρτῳ ἔσται πᾶς καρπὸς αὐτοῦ ἅγιος, *αἰνετὸς* τῷ
25 κυρίῳ· τῷ δὲ ἔτει τῷ πέμπτῳ φάγεσθε τὸν καρπόν,
πρόσθεμα ὑμῖν τὰ γεννήματα αὐτοῦ. Ἐγώ εἰμι κύριος
ὁ θεὸς ὑμῶν (*ibid.* § 22, i. 343).

---

23. κύριος ὁ θεὸς (*De Plantat. Noe*, § 22), so LXX. Cod. B*; +ὑμῶν Codd. B[ab]AF, *Vat. Rom.* The clause, ἣν κύριος...ὑμῖν, is not in the Hebr.

ὑμῖν (*ibid.*), as LXX.; *ed.* Tauchn. ἡμῖν.

καταφυτεύσητε (*ibid.*), so LXX. Codd. AF: καταφυτεύσετε Cod. B, *Vat. Rom.*

βρώσεως (*ibid.*); LXX. βρώσιμον.

περικαθαρ. (*ibid.*); pr. καὶ LXX.

τὸν καρπὸν αὐτοῦ (*ibid.*); LXX. Codd. BF, *Vat. Rom.* ὁ καρπὸς αὐτοῦ: om. Cod. A.

ἀκάθαρτος (*ibid.*); LXX. Codd. BF, *Vat. Rom.* ἀπερικάθαρτος (-τον A), as *De Plantat. Noe*, § 27.

24. τῷ δὲ ἔτει (*ibid.*); LXX. καὶ τῷ ἔτει.

πᾶς καρπός (*ibid.*); LXX. πᾶς ὁ καρπός, as in *De Plantat. Noe*, §§ 28, 29.

αἰνετός (*ibid.*), so Mangey in his note for the ἓν ἔτος of his text, of which he says "Omnino mendose. Sic tamen MSS. omnes."

25. τῷ δὲ ἔτει (*ibid.*); LXX. ἐν δὲ τῷ ἔτει.

γεννήματα (*ibid.*), so LXX. *Vat. Rom.*: γενήματα Codd. BAF.

Τῷ δὲ ἔτει φησὶ τῷ τετάρτῳ ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος, αἰνετὸς τῷ κυρίῳ (*ibid.* §§ 28, 29 *bis*, i. 347).

24 Παρὰ Μωϋσεῖ τῷ πανσόφῳ ὃς σεμνύνων τὸν τέταρτον ἀριθμὸν φησίν, ὅτι ἅγιός ἐστι καὶ αἰνετός (*De Abrah.* § 2, ii. 3).

25 Εἰπὼν γὰρ τὰ γεννήματα αὐτοῦ, ἐπιφέρει, Ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν (*De Plantat. Noe*, § 33, i. 350).

32 Ἀπὸ προσώπου πολιοῦ ἀναστήσῃ, καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου (*De ss. Abelis et Caini*, § 22, i. 178).

Ἀσεβὴς ὁ μὴ εἰδὼς τιμῆσαι πρόσωπον ἐντίμου, μηδὲ ἐξανίστασθαι ἀπὸ προσώπου πρεσβυτέρου (*Fragment. ex Joh. Monacho*, ii. 664; cf. *De Parent. Colend.* § 6, tom. v. p. 58 Tauchn.).

35 Οὐ ποιήσετε ἄδικον ἐν κρίσει, ἐν μέτροις, ἐν σταθμοῖς,
36 ἐν ζυγοῖς· ζυγὰ δίκαια, καὶ στάθμια δίκαια, καὶ χοῦς δίκαιος ἔσται ὑμῖν (*Quis rerum div. heres*, § 33, i. 495).

Πάλιν οἱ μέτρα καὶ στάθμια καὶ ζυγὰ διαχειριοῦντες (*De Justit.* § 9, ii. 368).

xx. 18 Ὃς ἂν κοιμηθῇ μετὰ γυναικὸς ἀποκαθημένης τὴν πηγὴν αὐτῆς ἀπεκάλυψε, καὶ αὕτη ἀπεκάλυψε τὴν ῥύσιν τοῦ αἵματος αὐτῆς· ἐξολοθρευθήτωσαν ἀμφότεροι (*De Profug.* § 34, i. 574).

xxi. 1 Ἐπεὶ δὲ ἕπεται γενέσει φθορά, καὶ τοὺς ἐπὶ τελευταῖς ἀνέγραψε τοῖς ἱερεῦσι νόμους κελεύσας μὴ ἐφ' ἅπασιν

---

32. ἀναστήσῃ (*De ss. Abelis et Caini*, § 22); LXX. ἐξαναστήσῃ.

35. LXX. ἐν μέτροις καὶ ἐν σταθμίοις καὶ ἐν ζυγοῖς.

xx. 18. ἀποκαθημένης (*De Profug.* § 34); + καὶ ἀποκαλύψῃ τὴν ἀσχημοσύνην αὐτῆς LXX.

ἐξολοθρευθήτωσαν (*ibid.*); LXX. *Vat. Rom.* ἐξολοθρευθήσονται; Codd. BAF ἐξολεθρευθήσονται.

αὐτοὺς μιαίνεσθαι τοῖς ὁπωσοῦν ἢ κατὰ φιλίαν ἢ κατὰ συγγένειαν ᾠκειωμένοις, ἀλλ' ἐπὶ μόνοις ἕξ· πατράσι καὶ μητράσι, υἱοῖς καὶ θυγατράσιν, ἀδελφοῖς καὶ ἀδελφαῖς παρθένοις (*De Monarch.* ii. § 12, ii. 230).

10, 11 Οὔτε *γὰρ ἐπὶ πατρί, τῷ νῷ, οὔτε ἐπὶ μητρί, τῇ αἰσθήσει, φησὶν αὐτὸν* Μωϋσῆς *δύνασθαι μιαίνεσθαι*...· Καὶ *διότι τὴν κεφαλὴν κέχρισται ἐλαίῳ*...· *καὶ ὅτι τὴν κεφαλὴν οὐδέποτε ἀπομιτρώσει*.... Οὐδ' *αὖ τὰ ἱμάτια διαῤῥήξει*.... Οὗτος *ἐπὶ πᾶσαν ψυχὴν τετελευτηκυῖαν, ᾗ φησι* Μωσῆς, *οὐκ εἰσελεύσεται*....

13 Τούτῳ *καὶ παρθένος ἐκ τοῦ ἱεροῦ γένους ἁρμόζεται*....

14 Χήρας *γὰρ καὶ ἐκβεβλημένης καὶ βεβήλου καὶ πόρνης ἀνὴρ οὐδέποτε γίνεται*.... Ἐὰν *δέ τις ἀποθάνῃ ἐπ' αὐτῷ ἐξάπινα, παραχρῆμα μιανθήσεται* (*De Profug.* §§ 20, 21, i. 562 f.).

17, 18 Ἐὰν *οὖν τις, φησί, τῶν ἱερέων ὀφθαλμούς, ἢ χεῖρας, ἢ βάσεις, ἤ τι μέλος ἄλλο παραπηρωθῇ τοῦ σώματος, ἢ καί τινα μῶμον ἐνδέξηται, λειτουργῶν μὲν μὴ μετεχέτω διὰ τὰς ἐγγενομένας κῆρας, τὰ δὲ κοινὰ τῶν ἱερέων γέρα καρπούσθω, διὰ τὴν ἀνυπαίτιον εὐγένειαν* (*De Monarch.* ii. § 13, ii. 230).

xxii. 4 Ἐὰν *μέντοι λέπραι τινὲς ἐξανθήσασαι κατάσχωσιν ἢ καὶ γονοῤῥυής τις γένηται τῶν ἱερέων, μηδὲ τραπέζης*

---

xxi. 10. ἀπομιτρώσει (*De Profug.* § 20); LXX. Codd. BAF, *Vat. Rom.* ἀποκιδαρώσει. ἀπομιτρώσει is found in four or five cursives, and in Cyr. Al. i. 432, *De Adorat. lib.* xii. τὴν κεφαλὴν οὐκ ἀποκιδαρώσει, ἤτοι οὐκ ἀπομιτρώσει.

14. χήρ...ἐκβεβλημ....βεβήλου...πόρν. (*ibid.* § 21); LXX. Cod. B, *Vat. Rom.* χήρ. ἐκβεβλημ....βεβηλωμένην...πόρν.: Cod. A ἐβδελυγμένην for ἐκβεβλημ.; Cod. F transposes βεβηλ. and πόρνην.

17. κῆρας (*De Monarch.* ii. § 13). Mangey, "MSS. Rectius λώβας."

ἱερᾶς ψαυέτω μήτε τῶν προκειμένων ἄθλων τῷ γένει, μέχρις ἂν ἥ τε ῥύσις ἐπίσχῃ καὶ ἡ λέπρα μεταβαλοῦσα τῷ τῆς ὑγιοῦς σαρκὸς ἐξομοιωθῇ χρώματι. Καὶ ἐὰν προσάψηται μέντοι τις ὅτου δήποτε τῶν ἀκαθάρτων ἱερεὺς ἢ καὶ νύκτωρ οἷα φιλεῖ πολλάκις ὀνειρώξῃ, τὴν ἡμέραν ἐκείνην μηδὲν προσφερέσθω τῶν καθιερωθέντων, λουσάμενος δὲ ἐπιγινομένης ἑσπέρας χρῆσθαι μὴ κωλυέσθω (*De Monarch.* ii. § 13, ii. 230).

6 Οὐκ ἔδεται ἀπὸ τῶν ἁγίων, ἐὰν μὴ λούσηται τὸ σῶμα
7 ὕδατι, καὶ δύῃ ὁ ἥλιος, καὶ γένηται καθαρός (*De Somn.* i.
§ 14, i. 633).

10 Πάροικος δὲ ἱερέως καὶ μισθωτὸς εἰργέσθω τῶν ἀπαρ-
11 χῶν...Οἰκογονεῖ δέ, φησίν, καὶ ἀργυρωνήτῳ μεταδιδότω
13 δεσπότης ἱερεὺς σιτίων καὶ ποτῶν ἐκ τῶν ἀπαρχῶν...'Εὰν
θυγάτηρ, φησίν, ἱερέως γημαμένη μὴ ἱερεῖ χηρεύσῃ, τελευ-
τήσαντος τοῦ ἀνδρὸς ἢ καὶ ἔτι ζῶντος, ἄπαις καταλειφθεῖσα,
πάλιν ἐπὶ τὸν πατρῷον οἶκον ἀνερχέσθω, μεταληψομένη
τῶν ἀπαρχῶν, ὧν καὶ ἡνίκα παρθένος ἦν ἐκοινώνει (*De
Monarch.* ii. §§ 13, 14, 15, ii. 231, 232).

xxiii. 2 Καὶ διὰ τοῦτο καὶ τὸ σάββατον—ἑρμηνεύεται δ'
ἀνάπαυσις—θεοῦ φησιν εἶναι Μωϋσῆς, πολλαχοῦ τῆς
νομοθεσίας, οὐχὶ ἀνθρώπων (*De Cherub.* § 26, i. 154).

Ὁ πάντα μέγας Μωσῆς...φήσας κατὰ λέξιν οὕτως· ἑορταὶ κυρίου (*De Septenar.* § 5, ii. 280).

10 Ὅταν γάρ, φησίν, εἰσέλθητε εἰς τὴν γῆν ἣν ἐγὼ
δίδωμι ὑμῖν, καὶ θερίζητε τὸν θερισμὸν αὐτῆς, οἴσετε

---

xxii. 7. καὶ γένηται καθαρός (*De Somn.* i. § 14); LXX. καὶ καθαρὸς ἔσται.

xxiii. 10. οἴσετε (*De Somn.* ii. § 11), so LXX. Cod. F; καὶ οἴσετε Cod. B, *Vat. Rom.*; καὶ οἴσεται Cod. A.

δράγματα ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν πρὸς τὸν ἱερέα (*De Somn.* ii. § 11, i. 669).

27 *Προστέτακται γὰρ τὰς ψυχὰς ταπεινοῦν δεκάτῃ τοῦ μηνός* (*De Posterit. Caini*, § 13, i. 234; cf. *De Congr. Erud. grat.* § 17, i. 532).

xxiv. 4 *Πάλιν ἀφ' ἑσπέρας ἕως πρωὶ προστάττει καίεσθαι λύχνους ἐπὶ τῆς ἱερᾶς λυχνίας εἴσω τοῦ καταπετάσματος πολλῶν χάριν. Ἑνὸς μέν, ἵνα ἐκ διαδοχῆς τοῦ μεθημερινοῦ φωτὸς καταλάμπηται τὰ ἅγια* (*De Sacrific.* § 7, ii. 256).

10 Cf. *Vita Mosis*, iii. 24, ii. 164.

15 *Αὐτίκα γοῦν νομοθετεῖται τάδε· Ὃς ἂν καταράσηται*
16 *θεόν, ἁμαρτίᾳ ἔνοχος ἔστω· ὃς δὲ ἂν ὀνομάσῃ τὸ ὄνομα τοῦ κυρίου, θνησκέτω* (*ibid.* § 25, ii. 166).

xxv. 3, 4 Cf. *De Septenar.* §§ 10, 12, ii. 286, 289.

6 *Προσηκόντως οὖν λέγεται· Καὶ ἔσται τὰ σάββατα τῆς γῆς ὑμῖν βρώματα* (*De Profug.* § 31, i. 572).

8 Cf. *De Humanit.* § 11, ii. 392.

8, 9 Cf. *De Septenar.* § 13, ii. 289.

11 *Λέγεται γὰρ ἐν τοῖς προτρεπτικοῖς· Οὐ σπερεῖτε,*

δράγματα (*ibid.*); LXX. Cod. A *τὰ δράγματα*; Codd. BF, *Vat. Rom.* *τὸ δράγμα*.

xxiv. 4. *ἀφ' ἑσπέρας* (*De Sacrific.* § 7).

Philo distinctly implies that the holy candlestick was only lit at night. Cf. Ex. xxvii. 21, xxx. 8, 1 Sam. iii. 3, 2 Chron. xiii. 11. Josephus says, it burned by day also, *Ant.* iii. § 8. 3.

15, 16. LXX. Codd. BAF *ἄνθρωπος* (+*ἄνθρωπος* F) *ὃς ἐὰν καταράσηται θεὸν* (+*αὐτοῦ* F) *ἁμαρτίαν λήμψεται, ὀνομάζων δὲ τὸ ὄνομα κυρίου θανάτῳ θανατούσθω.*

Philo in *De Vit. Mos.* § 25 lays stress on the article in *τοῦ κυρίου.*

οὐδὲ μὴ ἀμήσητε τὰ αὐτόματα ἀναβαίνοντα αὐτῆς (*De Profug.* § 31, i. 571).

23 Τῆς δὲ τοῦ ὄντος ἡγεμονίας ὁ χρησμὸς ἀληθὴς μάρτυς, λέγων τάδε· Καὶ ἡ γῆ οὐ πραθήσεται εἰς βεβαίωσιν· ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ· διότι προσήλυτοι καὶ πάροικοι ὑμεῖς ἐστὲ ἐναντίον ἐμοῦ (*De Cherub.* § 31, i. 158; cf. § 33, i. 160).

Cf. *De Septenar.* § 13, ii. 290.

xxvi. 3 Paraphr. *De Praem. et Poen.* § 17, ii. 424.

10 Διὸ καὶ λέγεται· Φάγεσθε παλαιὰ καὶ παλαιὰ παλαιῶν, ἀλλὰ καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε (*De ss. Abelis et Caini*, § 23, i. 178; cf. *Quis rerum div. heres*, § 57, i. 513).

12 Λήψομαι γάρ, φησίν, ὑμᾶς ἐμαυτῷ λαόν, καὶ ἔσομαι ὑμῶν θεός, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός· ἐγώ εἰμι κύριος (*De ss. Abelis et Caini*, § 26, i. 180).

Περιπατήσω γάρ, φησίν, ἐν ὑμῖν, καὶ ἔσομαι ὑμῶν

---

xxv. 11. *οὐδὲ μὴ ἀμήσητε* (*De Profug.* § 31), so LXX. Cod. A; Codd. BF, *Vat. Rom.* *οὐδὲ ἀμήσετε*, and so Philo in the same context, *ἀποφαινόμενος δέ, Οὐ σπερεῖτε, οὐδὲ μὴ ἀμήσετε τὰ αὐτόματα.*

23. *ἡ γῆ* 1° (*De Cherub.* § 31), so LXX. Cod. BA¹F; om. *ἡ* Cod. A.

βεβαίωσιν (*ibid.*), "Turnebus in margine annotat scribi nonnunquam *βεβήλωσιν*. Innuit forte D. Aug. *quaest.* 90 in Gen. qui utramque lectionem explanat" (Mangey).

βεβήλωσιν is found in more than 10 cursives (H. and P.).

πᾶσα ἡ γῆ (*ibid.*); om. *πᾶσα* LXX.

ἐναντίον μου (*ibid.*), so LXX. Cod. F; *ἐναντίον ἐμοῦ* Codd. BA, *Vat. Rom.*

xxvi. 10. *ἀλλὰ καὶ* (*De ss. Abelis et Caini*, § 23); LXX. *καὶ*.

12. LXX. Cod. B *καὶ ἐνπεριπατήσω ἐν ὑμῖν καὶ ἔσομαι ὑμῖν* (*ὑμῶν* B^ab AF, *Vat. Rom.*) *θεός, καὶ ὑμεῖς ἔσεσθέ μου* (*μοι* F, *Vat. Rom.*) *λαός*. Philo twice gives *ὑμῶν*, and once *ἐν ὑμῖν*.

θεός (*De Mutat. Nomin.* § 46, i. 618; *De Somn.* i. § 23, i. 643).

Περιπατήσω γάρ, φησίν, ἐν ὑμῖν, καὶ ἔσομαι ἐν ὑμῖν θεός (*De Somn.* ii. § 37, i. 691).

Οἶκος θεοῦ σοφοῦ διάνοια· τούτου καλεῖται θεὸς ἰδίως ὁ συμπάντων, ὥς φησιν ὁ προφήτης, ᾧ θεὸς ἐμπεριπατεῖ, οἷα βασιλείῳ (*Fragment. ex Antonio*, ii. 672).

36 *Δειλία καὶ φόβος ταῖς ψυχαῖς αὐτῶν ἐνιδρυθήσονται, καὶ φεύξονται μὲν οὐδενὸς διώκοντος* (*De Exsecration.* § 6, ii. 432).

xxvii. 3 Cf. *De Special. Legg.* ii. §§ 8, 9, ii. 296.

30 *Πᾶσα γάρ, φησί, δεκάτη τῆς γῆς ἀπὸ τοῦ σπέρματος*
32 *καὶ τοῦ καρποῦ τοῦ ξυλίνου ἐστὶν ἅγιον τῷ κυρίῳ. καὶ πᾶσα δεκάτη βοῶν καὶ προβάτων, καὶ πᾶν ὃ ἂν διέλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἔσται ἅγιον τῷ κυρίῳ* (*De Congr. Erud. grat.* § 18, i. 533).

The reading *ἐμπεριπατήσω* is only found in the *Fragmenta* of Philo, who elsewhere gives *περιπατήσω*.

For the variations from the LXX., cf. 2 Cor. vi. 16 *ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐνπεριπατήσω, καὶ ἔσομαι αὐτῶν θεός, καὶ αὐτοὶ ἔσονταί μου λαός.*

36. *δειλία* (*De Exsecrat.* § 6) Cod. B; LXX. *καὶ τοῖς καταλειφθεῖσιν ἐξ ὑμῶν ἐπάξω δουλίαν* (*διλίαν* AF) *εἰς τὴν καρδίαν αὐτῶν ἐν τῇ γῇ τῶν ἐχθρῶν ὑμῶν, καὶ διώξεται αὐτοὺς φωνὴ φύλλου φερομένου, καὶ φεύξονται ὡς φεύγοντες ἀπὸ πολέμου, καὶ πεσοῦνται οὐθενὸς* (*οὐδενὸς* F) *διώκοντος.*

Vat. Rom. *δουλείαν* and *οὐθενός.*

xxvii. 30. *σπέρματος* (*De Congr. Erud. grat.* § 18); + *τῆς γῆς* LXX. *ἐστὶν ἅγιον τῷ κυρίῳ* (*ibid.*); LXX. *τῷ κυρίῳ ἐστίν, ἅγιον τῷ κυρίῳ.* Philo omits verse 31.

32. *πᾶν ὃ ἂν διέλθῃ* (*ibid.*), so LXX. Cod. F (*ἐὰν*); *πᾶν ὃ ἐὰν ἔλθῃ* (*De Posterit. Caini*, § 27), so Codd. BA (*ἐὰν*), *Vat. Rom.*

ἔσται (*De Congr. Erud. grat.* § 18), as LXX.; om. *De Posterit. Caini.*

Ἔστι δὲ τὸ διάταγμα τοιοῦτο· Πᾶν ὃ ἐὰν ἔλθῃ ἐν τῷ
33 ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἅγιον τῷ κυρίῳ. Οὐκ
ἀλλάξεις καλὸν πονηρῷ· ἐὰν δ' ἀλλάξῃς αὐτό τε καὶ τὸ
ἄλλαγμα ἔσται ἅγια (*De Posterit. Caini*, § 27, i. 243).

Ἀπείρηκε δὲ καὶ τὴν τοιαύτην ἀντιδοσίαν ὁ ἱερὸς λόγος, ὅταν φησίν, Οὐκ ἀλλάξεις καλὸν πονηρῷ (*Leg. Allegor.* iii. § 36, i. 109).

---

33. LXX. Cod. F, *Vat. Rom.* + οὐδὲ πονηρὸν καλῷ after πονηρῷ.

Philo (*De Posterit. Caini*, § 27) omits as Codd. BA.

LXX. Codd. BAF ἐὰν δὲ ἀλλάσσων ἀλλαξῃς (-εις Cod. A) αὐτό, καὶ τὸ ἄλλαγμα αὐτοῦ ἔσται ἅγιον.

Philo, adding τε after αὐτό, connects αὐτὸ with the apodosis, and reads ἅγια for ἅγιον.

NUMBERS.

iii. 12 Καὶ ἐγὼ γάρ, φησίν, ἰδοὺ εἴληφα τοὺς Λευίτας ἐκ
μέσου υἱῶν Ἰσραὴλ ἀντὶ παντὸς πρωτοτόκου διανοίγοντος
μήτραν παρὰ τῶν υἱῶν Ἰσραήλ· λύτρα αὐτῶν ἔσονται, καὶ
13 ἔσονται ἐμοὶ οἱ Λευῖται. Ἐμοὶ γὰρ πᾶν πρωτότοκον· ἐν
ἡμέρᾳ ᾗ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἡγίασα
ἐμοὶ πᾶν πρωτότοκον Ἰσραήλ (*De ss. Abelis et Caini*,
§ 36, i. 186).

Ἐν ᾗ δέ, φησίν, ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἡγίασά μοι πᾶν πρωτότοκον Ἰσραήλ (*ibid.* § 39, i. 189).

Ἰδοὺ γάρ, φησίν, εἴληφα τοὺς Λευίτας ἀντὶ παντὸς πρωτοτόκου διανοίγοντος μήτραν παρὰ τῶν υἱῶν Ἰσραήλ· λύτρα αὐτῶν ἔσονται (*Quis rerum div. heres*, § 24, i. 490).

---

iii. 12. ἐγὼ...ἰδού (*De ss. Abelis et Caini*, § 36), so LXX. Codd. BAF: ἰδοὺ ἐγὼ *Vat. Rom.*

ἐκ μέσου υἱῶν Ἰσρ. (*ibid.*); LXX. ἐκ μέσου τῶν υἱῶν Ἰσρ.

Philo in *Quis rerum div. heres*, § 24 omits ἐγὼ and ἐκ μέσου τῶν υἱῶν Ἰσρ.

13. ἐν ἡμέρᾳ ᾗ (*De ss. Abelis et Caini*, § 36); but ἐν ᾗ ἡμέρᾳ (*ibid.* § 39), as LXX.

γῇ Αἰγύπτῳ, so Philo in both passages: LXX. γῇ Αἰγύπτου.

ἡγίασα ἐμοὶ (*De ss. Abelis et Caini*, § 36), ἡγίασά μοι (*ibid.* § 39); LXX. ἡγίασα (ἡγιάσας A) ἐμοί.

v. 2 Διό φησι καὶ ὁ θεῖος λόγος· Ἐξαποστειλάτωσαν ἐκ
τῆς ἁγίου ψυχῆς πάντα λεπρόν, καὶ πάντα γονοῤῥυῆ, καὶ
3 πάντα ἀκάθαρτον ἐν ψυχῇ, ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ,
καὶ τοὺς θλαδίας καὶ ἀποκεκομμένους τὰ γεννητικὰ τῆς
ψυχῆς, καὶ πόρνους (*Leg. Allegor.* iii. § 3, i. 89).

14 Παρ' ὃ καὶ λέγει Μωϋσῆς, Ὅτι τὰ κρυπτὰ κυρίῳ τῷ
θεῷ, τὰ δὲ φανερὰ γενέσει γνώριμα· προστέτακται τῷ ἱερεῖ
18 καὶ προφήτῃ, λόγῳ, τὴν ψυχὴν ἐναντίον τοῦ θεοῦ στῆσαι,
ἀποκαλύφῳ τῇ κεφαλῇ (*De Cherub.* § 6, i. 141; cf. *De
Special. Legg.* iii. § 10, ii. 308, 309).

15 Καὶ γὰρ εἶπέ που Μωϋσῆς θυσίαν ἀναμιμνήσκουσαν
ἁμαρτίαν (*De Plantat. Noe*, § 25, i. 345).

18 Στήσει γάρ, φησίν, ὁ ἱερεὺς τὴν γυναῖκα ἐναντίον
κυρίου, καὶ ἀποκαλύψει τὴν κεφαλὴν αὐτῆς (*De Cherub.*
§ 5, i. 141).

27, 28 Διὰ τοῦτο ἐπὶ τῆς ὑπονοηθείσης διεφθάρθαι ψυχῆς
φησιν, ὅτι, ἂν μὲν...εὑρεθῇ προσκεχωρηκυῖα τῷ μιαίνοντι
τὴν ψυχὴν πάθει, πρησθήσεται τὴν γαστέρα......
Παρ' ὃ καὶ τὸ ἀκόλουθον προστίθεται τῷ πρησθῆναι τὴν

---

v. 2. ἐκ τῆς ἁγίου ψυχῆς (*Leg. Allegor.* iii. § 3). Philo's metaphorical explanation of ἐκ τῆς παρεμβολῆς, LXX. Codd. BF, *Vat. Rom.* (συναγωγῆς Cod. A).

ἐν ψυχῇ (*ibid.*); LXX. ἐπὶ ψυχῇ.

The quotation from Numbers breaks off at θηλυκοῦ, and the rest of the passage is from Deut. xxiii. 1, 2 οὐκ εἰσελεύσονται θλαδίας οὐδὲ ἀποκεκομμένος εἰς ἐκκλησίαν κυρίου.

18. ἐναντίον κυρίου (*De Cherub.* § 5); LXX. ἔναντι κυρίου; ἐναντίον τοῦ θεοῦ (*De Cherub.* § 6).

ἀποκαλύφῳ (*ibid.*), perhaps an error for ἀκαλύφῳ. Cf. ἀκατακαλύπτῳ τῇ κεφαλῇ (*De Special. Legg.* § 6).

28. πρησθήσεται (*Leg. Allegor.* iii. § 51); cf. Jos. *Ant.* iii. 11. 6.

γαστέρα, τὸ διαπεσεῖν τὸν μηρόν......Ἐὰν γοῦν, φησί, μὴ μιανθῇ, καὶ καθαρὰ καὶ ἀθῷος ἔσται ἐκ σπερμάτων εἰς σπέρμα (*Leg. Allegor.* iii. § 51, i. 116; cf. *De Special. Legg.* iii. § 10, ii. 310).

vi. 2 Ὅμοιόν ἐστι τῷ τὸν θερισμὸν θερίζειν, τὸ δὶς περιτέμνειν· ὅπερ ὅτε ἐκαινούργησαν, ἐξεῦρον περιτομῆς περιτομήν, τὴν ἁγνείαν *ἀφαγνίζεσθαι* (*De Somn.* ii. § 4, i. 662).

5 Ἅγιος γάρ, φησίν, ἐστὶν ὁ τρέφων κόμην τρίχα κεφαλῆς, ὁ εὐξάμενος (*ibid.* i. § 43, i. 658).

Τοῦτον οὖν φησι Μωϋσῆς ἅγιον εἶναι τρέφοντα κόμην τρίχα κεφαλῆς (*Quod Deus immutab.* § 19, i. 286).

9 Διὰ τοῦτο ἐπὶ τοῦ τὴν μεγάλην εὐχὴν εὐξαμένου φησίν, ὅτι ἐὰν τροπὴ κατασκήψασα αἰφνίδιος μιάνῃ τὸν νοῦν, οὐκέτ' ἔσται ἅγιος (*Leg. Allegor.* i. § 8, i. 46; cf. *Quod Deus immutab.* § 19, i. 286).

Ἐὰν γάρ τις, φησίν, ἀποθάνῃ ἐπ' αὐτῷ αἰφνιδίως, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ, καὶ

καὶ καθαρὰ (*ibid.*). Philo includes these two words in the apodosis.

LXX. ἐὰν δὲ μὴ μιανθῇ ἡ γυνὴ καὶ καθαρὰ ᾖ, καὶ ἀθῴα ἔσται καὶ ἐκσπερματιεῖ σπέρμα.

ἀθῷος in Philo an adjective of two terminations, as in Cod. ℵ* (ἀθῴα Cod. ℵ$^{c.a}$).

ἐκ σπερμάτων εἰς σπέρμα is an evident corruption of the LXX. reading.

vi. 2. *ἀφαγνίζεσθαι* (*De Somn.* ii. § 4); the context shows this is the correct reading, and not ἀφανίζεσθαι, as is read in Mangey's text.

5. ἐστὶν ὁ τρέφων (*De Somn.* i. § 43); LXX. ἔσται τρέφων, as Hebr.

9. ἐπ' αὐτῷ αἰφνιδίως (*De Agricult.* § 40); LXX. Cod. B ἐξάπινα ἐπ' αὐτῷ; Codd. AF, *Vat. Rom.* ἐπ' αὐτῷ ἐξάπινα.

ξυρήσεται......Αἱ δὲ ἡμέραι αἱ πρότεραι ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη ἡ κεφαλὴ εὐχῆς αὐτοῦ (*De Agric.* § 40, i. 327).

vii. 5 Ἑκάστῳ γάρ, φησί, τῶν υἱῶν Ἀαρὼν ἔσται τὸ ἴσον (*Quis rerum div. heres*, § 41, i. 500).

14 Θυΐσκην γὰρ δέκα χρυσῶν πλήρη θυμιάματος ἀνατίθησιν (*De Congr. Erud. grat.* § 21, i. 535).

viii. 24 Τοῦτο γάρ, φησίν, ἐστι τὸ περὶ τῶν Λευϊτῶν· Ἀπὸ πέντε καὶ εἴκοσιν ἐτῶν εἰσελεύσεται ἐνεργεῖν ἐν τῇ σκηνῇ
25 τοῦ μαρτυρίου, καὶ ἀπὸ πεντήκοντα ἐτῶν ἀποστήσεται
26 τῆς λειτουργίας, καὶ οὐκ ἐργάσεται ἔτι, λειτουργήσει δὲ ἀδελφὸς αὐτοῦ· ὁ δὲ φυλάξει φυλακάς, ἔργα δὲ οὐκ ἐργάσεται (*Quod det. pot. insid.* § 19, i. 203).

---

vii. 5. Philo apparently paraphrases the LXX. καὶ δώσεις αὐτὰ τοῖς Λευείταις, ἑκάστῳ κατὰ τὴν αὐτοῦ λειτουργίαν.

viii. 24. τοῦτο...ἐστι (*Quod det. pot. insid.* § 19); τοῦτό ἐστι LXX. Cod. B, *Vat. Rom.*; τουτέστιν Codd. AF.

ἀπὸ πέντε καὶ εἴκοσιν ἐτῶν (*ibid.*); LXX. ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω.

εἰσελεύσεται (*ibid.*); LXX. εἰσελεύσονται. Philo has the singular, as Hebr. יבוא.

ἐνεργεῖν (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.*; Codd. AF λειτουργεῖν λειτουργείαν ἐν ἔργοις.

25. πεντήκοντα ἐτῶν (*ibid.*); LXX. πεντηκονταετοῦς.

τῆς λειτουργίας (*ibid.*), so LXX. Cod. B*; ἀπὸ τῆς λειτ. Codd. AFB[ab], *Vat. Rom.*

οὐκ (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.*; οὐχὶ Codd. AF.

ἐργάσεται (*ibid.*); LXX. Cod. B ἐργάζεται; Codd. AF, *Vat. Rom.* ἐργᾶται.

26. λειτουργήσει δὲ (*ibid.*); LXX. καὶ λειτουργήσει.

ἀδελφὸς (*ibid.*); LXX. pr. ὁ.

Philo omits LXX. ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

ὁ δὲ φυλάξει φυλακάς (*ibid.*); LXX. φυλάσσειν φυλακάς.

ἐργάσεται (*ibid.*); LXX. Cod. B* ἐργάζεται; Codd. B[ab]AF, *Vat. Rom.* ἐργᾶται.

ix. 10 Cf. *Vita Mosis*, iii. § 30, ii. 170.

x. 29, 30 Ἐξάραντες γάρ, φησίν, ἡμεῖς καὶ ἀποκόψαντες τῆς διανοίας τὸν κενὸν τύφον, μετανιστάμεθα εἰς τὸν ἐπιστήμης τόπον ὃν χρησμοῖς καὶ ὁμολογίαις θείαις λαμβάνομεν. Ἴθι δὴ μεθ' ἡμῶν καὶ εὖ σοι ποιήσομεν......

30 Οὐ πορεύσομαι, ἀλλ' εἰς τὴν γῆν μου καὶ τὴν γενεάν μου (*De Ebrietate*, § 10, i. 363).

xi. 4 Λέγεται γὰρ ὅτι ὁ ἐπίμικτος ὁ ἐν αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίας...καὶ καθίσαντες ἔκλαιον (*De Migrat. Abrah.*, § 28, i. 460).

5 Ἐμνήσθημεν γάρ, φησί, τοὺς ἰχθύας οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεάν, τοὺς σικύους πέπονας, πράσα, κρόμμυα,

6 σκόροδα· νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος, οὐδὲν πλὴν πρὸς τὸ μάννα ὀφθαλμοὶ ἡμῶν (*Quis rerum div. heres*, § 15, i. 484).

8 Οὗτοι γὰρ ἤλουν καὶ ἔτριβον αὐτὸ ποιοῦντες ἐγκρυφίας (*De ss. Abelis et Caini*, § 26, i. 180).

---

x. 29. Philo (*De Ebriet.* § 10) adapts the LXX. ἐξαίρομεν ἡμεῖς εἰς τὸν τόπον ὃν εἶπεν κύριος Τοῦτον δώσω ὑμῖν· δεῦρο μεθ' ἡμῶν, καὶ εὖ σε ποιήσομεν, but renders לכה by ἴθι δή, and reads σοι for σε.

30. ἀλλ' (*ibid.*), so LXX. Cod. A, Cat. Niceph.; ἀλλὰ Cod. B, *Vat. Rom.*; ἀλλ' ἢ Cod. F.

τὴν γενεάν (*ibid.*); pr. εἰς LXX.

xi. 4. ἐπεθύμησεν (*De Migrat. Abrah.* § 28), so LXX. Cod. B, *Vat. Rom.*; ἐπεθύμησαν Codd. AF, plural as Hebr.

ἐπιθυμίας (*ibid.*); LXX. ἐπιθυμίαν.

5. LXX. καὶ τοὺς σικύας (σικύους B[ab], *Vat. Rom.*) καὶ τοὺς πέπονας καὶ τὰ πράσα καὶ τὰ κρόμμυα (κρόμυα AF) καὶ τὰ σκόρδα. Philo (*Quis rerum div. heres*, § 15) omits the copula and the article. The spelling σκόροδα is found in several MSS, including Cod. Coislin. (H. and P.), Cat. Niceph.

6. πρὸς (*ibid.*); LXX. εἰς.

12 Μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον πάντα τὸν λαὸν τοῦτον, ἢ
ἐγὼ ἔτεκον αὐτὸν ὅτι λέγεις μοι· Λάβε αὐτὸν εἰς τὸν
13 κόλπον σου, καθ᾽ ἃ αἴρῃ τιθηνὸς τὸν θηλάζοντα;...Πόθεν
μοι κρέα δοῦναι παντὶ τῷ λαῷ τούτῳ, ὅτι κλαίει ἐπ᾽ ἐμοί;
(*Quis rerum div. heres*, § 5, i. 475).
16 Οὓς γὰρ σὺ οἶδας, φησίν, οὗτοι πρεσβύτεροί εἰσιν
(*De ss. Abelis et Caini*, § 22, i. 178).

Λέγεται γάρ, Συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ, οὓς αὐτὸς σὺ οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι (*De Sobrietate*, § 5, i. 395).

17 Λέγεται γάρ, ὅτι ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ
σοί, καὶ ἐπιθήσω ἐπὶ τοὺς ἑβδομήκοντα πρεσβυτέρους
(*De Gigantibus*, § 6, i. 266).
20 Καὶ δῆτα οὐκ εἰς μακρὰν καθάρσεσι χολῆς ἐφθάρησαν
(*De Concupisc.* § 11, ii. 357).
22 Μὴ πρόβατα καὶ βόες σφαγήσονται, ἢ πᾶν τὸ ὄψον

---

12. *πάντα τὸν λαὸν* (*Quis rerum div. heres*, § 5), so LXX. Cod. B, *Vat. Rom.*; *τὸν πάντα λαὸν* Codd. AF.

ἔτεκον (*ibid.*); LXX. Cod. A *τέτοκα*.

αὐτὸν 1° (*ibid.*), as Hebr. ילדתיהו; LXX. *αὐτούς*.

αὐτὸν 2° (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.*; *αὐτοὺς* Codd. AF.

καθ᾽ ἃ αἴρῃ (*ibid.*); LXX. *ὡσεὶ ἄραι*.

13. *κλαίει* (*ibid.*); LXX. *κλαίουσιν*.

ἐπ᾽ ἐμοὶ (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.*; *ἐπ᾽ ἐμὲ* Codd. AF.

16. *οὓς αὐτὸς σὺ οἶδας* (*De Sobriet.* § 5), so LXX. Cod. B[a], *Vat. Rom.*; *οὓς σὺ αὐτὸς οἶδας* Cod. A, Cat. Niceph.; Cod. B* *οὓς αὐτός σοι εἶδες*; Cod. F *οὕς σοι αὐτὸς οἶδας*.

In *De ss. Abelis et Caini*, § 22, Philo omits *αὐτός*, and transposes *εἰσι* and *πρεσβύτεροι*. In both quotations *τοῦ λαοῦ* is wanting after *πρεσβύτεροι*.

17. *ἐπὶ τοὺς ἑβδομ. πρεσβυτ.* (*De Gigant.* § 6); LXX. *ἐπ᾽ αὐτούς*.

22. In the LXX. *αὐτοῖς* stands after each verb; and the words

τῆς θαλάσσης συναχθήσεται, καὶ ἀρκέσει; (Quis rerum div. heres, § 5, i. 475).

23 Τί δ' *οἰόμεθα ἐμφαίνεσθαι διὰ τοῦ·* Μὴ *χεὶρ κυρίου οὐκ ἐξαρκέσει; (De Mutat. Nomin.* § 40, i. 613).

Διὸ καὶ παῤῥησιάζεται φάσκων· Ἤδη *ὄψει, ἐπεὶ καταλήψεταί σε ὁ λόγος μου (De ss. Abel. et Caini,* § 18, i. 175).

31 (cf. Ex. xvi. 13) Ἀπὸ *γὰρ τῆς θαλάττης ἀρθὲν ὀρτυγομήτρας νέφος ἐγχεῖται παρὰ τὴν ἕω, καὶ τὸ μὲν στρατόπεδον καὶ τὰ πέριξ ἐφ' ἡμερήσιον ἀνδρὸς εὐζώνου πανταχόθεν*
32 *χόθεν ἐν κύκλῳ ὑπεσκίαστο...καὶ τὰ ζῷα ταῖς ἀμφοτέραις*
34 *χερσὶν ἐφελκόμενοι τοὺς κόλπους ἐπλήρουν......*Ἐκλήθη *γὰρ μνήματα τῆς ἐπιθυμίας (De Concupisc.* § 11, ii. 357).

xii. 6 Καὶ *γὰρ ὅ τε* Ἀαρών, *ὁ λόγος, καὶ* Μαριάμ, *ἡ αἴσθησις, ἐπανίσταται ῥητῶς τοῖς ἀκούουσιν, ὅτι* Ἐὰν *γένηται προφήτης κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσεται καὶ*
7 *ἐν σκιᾷ ὁ θεός, οὐκ ἐναργῶς·* Μωσεῖ *δὲ ὅστις πιστὸς*
8 *ἐν ὅλῳ τῷ οἴκῳ, στόμα κατὰ στόμα λαλήσει ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων (Leg. Allegor.* iii. § 33, i. 108).

καὶ ἀρκέσει αὐτοῖς stand at the end of the first as well as at the end of the second clause.

23. *ὄψει (De ss. Abelis et Caini,* § 18); LXX. *γνώσει.* Philo is closer to the Hebr., תראה.

ἐπεὶ (ibid.); LXX. Codd. AF, *Vat. Rom. εἰ* : Cod. B *ἤ*.

καταλήψεται (ibid.); LXX. *ἐπικαταλήμψεται.*

LXX. *ἤδη γνώσει εἰ ἐπικαταλήμψεταί σε ὁ λόγος μου ἢ οὔ.*

xii. 6—8. A good illustration of Philo's loose methods of quotation; compare *προφήτης κυρίῳ (Leg. Allegor.* iii. § 33) with *ὑμῶν προφήτης κυρίου (Quis rerum div. heres,* § 52); and the three forms, *πιστὸς ἐν ὅλῳ τῷ οἴκω, πιστὸς ἐν παντὶ τῷ οἴκῳ, πιστὸς ὅλῳ τῷ οἴκῳ.*

LXX. *ἐὰν γένηται προφήτης ὑμῶν κυρίῳ (κυρίου* B*vid), *ἐν ὁράματι αὐτῷ γνωσθήσομαι καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ. οὐχ οὕτως (+ὡς* AF) *ὁ θεράπων μου Μωϋσῆς· ἐν ὅλῳ τῷ οἴκῳ μου πιστός ἐστιν· στόμα κατὰ στόμα λαλήσω αὐτῷ, ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων.*

6, 7 Λέγει γάρ· Ἐὰν γένηται ὑμῶν προφήτης κυρίου, ἐν
8 ὁράματι αὐτῷ γνωσθήσομαι, Μωσεῖ δὲ ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων (*Quis rerum div. heres*, § 52, i. 511).
7 Μωϋσῆς λέγεται πιστὸς ἐν παντὶ τῷ οἴκῳ γεγενῆσθαι (*Leg. Allegor.* iii. § 72, i. 128).

Μωϋσῆς ἄρχει μαρτυρούμενος, ὅτι ἐστὶ πιστὸς ὅλῳ τῷ οἴκῳ (*ibid.* § 81, i. 132).

12 Ἃ δὲ ἂν δοκῇ προφέρειν, ἀμβλωθρίδια εὑρίσκεται καὶ ἐκτρώματα, κατεσθίοντα τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς, ἴσα θανάτῳ ψυχικῷ...διὸ καί φησι· Μὴ γένηται ὡς ἴσον θανάτῳ, ὡς ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρός, καὶ κατεσθίῃ τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς (*ibid.* i. § 24, i. 59).

14 Λέγεται καὶ ἐπὶ τῆς Μαρίας, ὅτε καταλαλεῖ Μωϋσῇ· Εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἐντραπήσεται ἑπτὰ ἡμέρας; (*ibid.* ii. § 17, i. 78).

xiii. 23 Φησὶ γὰρ τοὺς κατασκόπους ἐλθεῖν εἰς Χεβρών, ἐκεῖ δ' εἶναι Ἀχειμάν, καὶ Σεσείν, καὶ Θαλαμείν, γενεᾶς

Philo omits the pronoun μου after οἴκῳ. For the same quotation cf. Heb. iii. 5 καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων, and Clem. Rom. xvii. 5.

12. γένηται (*Leg. Allegor.* i. § 24), so LXX. Codd. BF, *Vat. Rom.*; γένοιτο Cod. A.

ὡς 1° (*ibid.*), so LXX. Cod. F (ὡς εἴσον); ὡσεὶ Codd. BA, *Vat. Rom.* ὡς 2° (*ibid.*); LXX. ὡσεί.

καὶ κατεσθίῃ (*ibid.*); LXX. Codd. B[ab]AF, *Vat. Rom.* καὶ κατεσθίει; Cod. B* κατεσθίει.

xiii. 23. Ἀχειμὰν (*De Posterit. Caini*, § 17), so LXX. Cod. B; Cod. A Ἀχικάμ; Cod. F, *Vat. Rom.*, Cat. Niceph. Ἀχιμάν.

Σεσεὶν (*ibid.*); LXX. Cod. B Σεσσεί; *Vat. Rom.* Σεσσί; Cod. A Σεμεί; Cod. F, Cat. Niceph. Σεσεί.

Θαλαμεὶν (*ibid.*); LXX. Codd. BA Θελαμεὶν (-μὶ *Vat. Rom.*); Cod. F Θαλαμεὶ (-μὶ Cat. Niceph.).

γενεᾶς (*ibid.*); LXX. γενεαί.

Ἐνώχ. Εἶτ' ἐπιφέρει, Καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ Τανὶν Αἰγύπτου (*De Posterit. Caini*, § 17, i. 236).

25 Ἐπαινεῖν ἄξιον καὶ τῶν κατασκόπων τοὺς ἐπιχειρήσαντας μὲν αὐτόπρεμνον τὸ ἀρετῆς ὅλον ἀνασπάσαι καὶ βαστάσαι στέλεχος· ἐπεὶ δ' οὐκ ἠδυνήθησαν, κληματίδα γοῦν καὶ ἕνα βότρυν λαβόντες (*De Mutat. Nomin.* § 40, i. 612).

xiv. 4 Δῶμεν ἀρχηγὸν καὶ ἀποστρέψωμεν εἰς τὸ πάθος, Αἴγυπτον (*Leg. Allegor.* iii. § 61, i. 121).

9 Ἀφέστηκεν ὁ καιρὸς ἀπ' αὐτῶν, ὁ δὲ κύριος ἐν ἡμῖν (*De Posterit. Caini*, § 35, i. 248; *De Mutat. Nomin.* § 46, i. 618; *Quaestt. et Sol. in Gen., Sermo* i. § 100, A. ii. 72).

[Moses vero alibi dicit: "Ne auferatur ab eis dominus" (*Quaestt. et Sol. in Gen., Sermo* ii. § 4, A. ii. 247).]

11 Λέγεται γάρ· Ἕως τίνος παροξυνοῦσιν ὁ λαὸς οὗτος; καὶ ἕως τίνος οὐ πιστεύσουσί μοι ἐν πᾶσι τοῖς σημείοις
12 οἷς ἐποίησα ἐν αὐτοῖς; Πατάξω αὐτοὺς θανάτῳ, καὶ ἀπολῶ αὐτούς, καὶ ποιήσω σε καὶ τὸν οἶκον τοῦ πατρός σου εἰς ἔθνος μέγα καὶ πολὺ ἢ τοῦτο (*De Migrat. Abrah.* § 12, i. 446).

20 Λέγεται γὰρ ἑτέρωθι Μωϋσέως ἱκετεύσαντος· Ἵλεως αὐτοῖς εἰμι κατὰ τὸ ῥῆμά σου (*ibid.* § 21, i. 455).

Ἐνὼχ (*ibid.*); LXX. Codd. BF, *Vat. Rom.* Ἐνάχ; Cod. A, Cat. Niceph. Ἐνάκ.

xiv. 11. παροξυνοῦσιν (*De Migrat. Abrah.* § 12); LXX. παροξυνεῖ με.

πιστεύσουσι (*ibid.*); LXX. πιστεύουσιν.

σημείοις (*ibid.*), so LXX. Codd. BF, *Vat. Rom.*; θαυμασίοις Cod. A.

12. πολὺ ἢ τοῦτο (*ibid.*); LXX. πολὺ μᾶλλον ἢ τοῦτο.

24 Ἐγένετο γάρ, φησί, πνεῦμα ἕτερον ἐν αὐτῷ ὡσανεὶ τοῦ ἡγεμονικοῦ μεταβαλόντος πρὸς ἄκραν τελειότητα. Καὶ γὰρ ἑρμηνευθείς ἐστι Χάλεβ πᾶσα καρδία (*De Mutat. Nomin.* § 21, i. 597).

44 Λέγει γάρ· Ὁ Μωσῆς καὶ ἡ κιβωτὸς οὐκ ἐκινήθησαν (*De Gigantib.* § 11, i. 269).

xv. 19 Ἡ δὲ πρόσταξίς ἐστι τοιάδε· Καὶ ἔσται, ὅταν ἐσθίητε ἀπὸ τῶν καρπῶν τῆς γῆς, ἀφελεῖτε ἀφαίρεμα,
20 ἀφόρισμα κυρίῳ· ἀπαρχὴν φυράματος ὑμῶν ἄρτον, ἀφαίρεμα ἀφελεῖτε αὐτό· ὡς ἀφαίρεμα ἀπὸ ἅλωνος, οὕτως ἀφελεῖτε αὐτό (*De ss. Abelis et Caini*, § 33, i. 184).

30 Εἴρηται γάρ που καλῶς, ὅτι ὁ ἐγχειρῶν ὑπεραύχοις ἢ λόγοις ἢ ἔργοις, οὐκ ἀνθρώπους μόνον ἀλλὰ καὶ θεὸν παροξύνει, τὸν ἰσότητος καὶ παντὸς ἀρίστου δημιουργόν (*De Sacrific.* § 2, ii. 252).

Φησὶ γάρ· Ὃς ἂν ἐγχειρῇ τι πράττειν μεθ' ὑπερηφανίας, τὸν θεὸν παροξύνει (*De Humanit.* § 24, ii. 404).

---

24. ἐγένετο (*De Mutat. Nomin.* § 21); LXX. Codd. BAF ἐγενήθη; om. *Vat. Rom.*

44. LXX. ἡ δὲ κιβωτὸς τῆς διαθήκης Κυρίου καὶ Μωυσῆς οὐκ ἐκινήθησαν ἐκ (+μέσου AF) τῆς παρεμβολῆς.

xv. 19. ἐσθίητε (*De ss. Abelis et Caini*, § 33); LXX. ἔσθητε ὑμεῖς.

καρπῶν (*ibid.*); LXX. ἄρτων.

20. ἀφαίρεμα ἀφελεῖτε (*ibid.*); LXX. Codd. BA ἀφαίρεμα ἀφοριεῖτε (-ται Cod. F); *Vat. Rom.* ἀφοριεῖτε ἀφαίρεμα.

ἅλωνος (*ibid.*), so LXX. Codd. AF, Cat. Niceph.; Cod. B, *Vat. Rom.* ἅλω.

αὐτὸ 2° (*ibid.*); LXX. αὐτόν.

30. The words referred to are καὶ ψυχὴ ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανίας ἀπὸ τῶν αὐτοχθόνων ἢ ἀπὸ τῶν προσηλύτων, τὸν θεὸν οὗτος παροξύνει (LXX.).

xvi. 15 Κατὰ τὸ Μωϋσέως γράμμα· Ἐπιθύμημα οὐδενὸς αὐτῶν ἔλαβον (*De Confus. Ling.* § 13, i. 412).

48 Καὶ ἐγὼ εἱστήκειν ἀνὰ μέσον κυρίου καὶ ὑμῶν (*Quis rerum div. heres*, § 42, i. 502).

Θαυμάζω καὶ τὸν μετὰ σπουδῆς ἀπνευστὶ δραμόντα συντόνως ἱερὸν λόγον, ἵνα στῇ μέσος τῶν τεθνηκότων καὶ τῶν ζώντων. Εὐθὺς γάρ, φησὶ Μωϋσῆς, ἐκόπασεν ἡ θραῦσις (*ibid.* § 42, i. 501).

Λέγεται γὰρ ἐπὶ Ἀαρών, ὅτι Ἔστη ἀνὰ μέσον τῶν τεθνηκότων καὶ τῶν ζώντων, καὶ ἐκόπασεν ἡ θραῦσις (*De Somn.* ii. § 35, i. 689).

xviii. 12 cf. *De Concupisc.* § 3, ii. 351.

20 Καὶ ἐκ προσώπου μέντοι τοῦ θεοῦ ᾄδεται διὰ τῶν χρησμῶν τὸν τρόπον τοῦτον· Ἐγὼ μερίς σου καὶ κληροδοσία (*De Plantat. Noe*, § 15, i. 339).

Τὸν θεὸν ἔφη κλῆρον αὐτῶν εἶναι (*De Praem. Sacerdot.* § 1, ii. 232).

26, 28 cf. *De Mutat. Nomin.* §§ 1, 35, i. 578, 607.

31 cf. *De Concupisc.* § 3, ii. 351.

xix. 1—9 Κελεύει γὰρ δάμαλιν πυῤῥάν, ἄζυγον, ἄμωμον, ἀχθεῖσαν σφαγιασθῆναι ἔξω πόλεως, τὸν δὲ ἀρχιερέα λαμβάνοντα ἀπὸ τοῦ αἵματος ἑπτάκις ἐπιῤῥαίνειν ἀντικρὺ τοῦ νεὼ πάντα, εἶθ' ὅλην κατακαίειν σὺν δορᾷ καὶ κρέασι καὶ αἵματι καὶ πλήρει τῇ κοιλίᾳ περιττωμάτων· ἤδη δὲ ὑπομαραινομένης τῆς φλογὸς εἰς τὸ μεσαίτατον τρία ταῦτα ἐμβάλλειν, ξύλον κέδρινον, ὕσσωπον, καὶ κόκκινον κελεύει· εἶτ' ἐπὰν ἀποσβεσθῇ, τὴν τέφραν συλλέγειν

---

xvi. 15. LXX. οὐκ ἐπιθύμημα οὐδενὸς αὐτῶν εἴληφα.

48. εὐθὺς (*Quis rerum div. heres*, § 42) is not in the LXX.

xviii. 20. κληροδοσία (*De Plantat. Noe*, § 15); LXX. κληρονομία.

καθαρὸν ἄνθρωπον, καὶ ἀποτιθέναι πάλιν ἔξω πόλεως ἐν χωρίῳ καθαρῷ (*De Sacrific.* § 3, ii. 252 f.).

11 cf. *De Special. Legg.* § 36, ii. 333.

15 *Ὅσα γὰρ οὐχὶ δεσμῷ καταδεῖται, φησὶ Μωϋσῆς ἐν ἑτέροις, ἀκάθαρτα εἶναι* (*Quod det. pot. insid.* § 27, i. 211).

Λέγει μέντοι καὶ ἑτέρωθι, ὅτι πάνθ', ὅσα δεσμῷ καταδέδεται, καθαρά ἐστιν (*De Confus. Ling.* § 32, i. 430).

xx. 17 *Μωϋσῆς δὲ οὔτ' εἰς δεξιά, οὔτ' εἰς ἀριστερά, οὐδ' ὅλως εἰς μέρη τοῦ γηΐνου Ἐδὼμ ἀποκλίνειν οἴεται δεῖν, τῇ δὲ μέσῃ ὁδῷ περιέρχεσθαι, ἣν κυριώτατον καλεῖ βασιλικήν* (*De Posterit. Caini*, § 30, i. 244).

Βουλομένοις γοῦν ταύτην πορεύεσθαι τὴν ὁδὸν βασιλικὴν οὖσαν, τοῖς τοῦ ὁρατικοῦ γένους μετέχουσιν, ὅπερ Ἰσραὴλ κέκληται, διαμάχεται ὁ γήϊνος Ἐδώμ· τοῦτο γὰρ διερμηνευθεὶς ὀνομάζεται· μετὰ σπουδῆς καὶ παρασκευῆς πάσης εἴρξειν ἀπειλῶν τῆς ὁδοῦ, καὶ ἀτριβῆ καὶ ἀπόρευτον αὐτὴν κατασκευάσειν εἰς ἅπαν. Οἱ μὲν οὖν πεμφθέντες πρεσβεῖς λέγουσιν ταῦτα.

Παρελευσόμεθα διὰ τῆς γῆς σου· οὐ διελευσόμεθα δι'

---

xix. 15. *οὐχὶ* (*Quod det. pot. insid.* § 27), so LXX. Codd. B^ab^F, *Vat. Rom.*; *οὐκ ἐχὶ* Cod. B*; *οὐκ ἔχει* Cod. A.

δεσμῷ καταδεῖται (*ibid.*), *δεσμῷ καταδέδεται* (*De Confus. Ling.* § 32); LXX. Cod. B *δεσμὸν καταδέδεται ἐν* (*ἐπ'* B^a?b^AF, *Vat. Rom.*) *αὐτῷ*.

Philo omits *ἐπ'* (*ἐν*) *αὐτῷ*, עליו.

xx. 17. *τοῦ γηΐνου Ἐδὼμ* (*De Posterit. Caini*, § 30). Philo confuses the derivation of 'Edom' with that of 'Adam,' probably from their both being spelled with the same consonants in Hebr.; cf. Jerome, *Nom. Hebr.* "Adam homo, sive terrenus, aut indigena, vel terra rubra."

ἀγρῶν, οὐ δι' ἀμπελώνων· οὐ πιόμεθα ὕδωρ λάκκου σου·
ὁδῷ βασιλικῇ πορευσόμεθα· οὐκ ἐκκλινοῦμεν δεξιά, οὐδὲ
18 εὐώνυμα, ἕως ἂν παρέλθωμέν σου τὰ ὅρια. Ὁ δὲ Ἐδὼμ
ἀποκρίνεται φάσκων· Οὐ παρελεύσῃ δι' ἐμοῦ· εἰ δὲ μή,
19 ἐν πολέμῳ διεξελεύσομαί σοι εἰς συνάντησιν. Καὶ λέ-
γουσιν αὐτῷ οἱ υἱοὶ Ἰσραήλ· Παρὰ τὸ ὄρος παρελευσό-
μεθα· ἐὰν δὲ τοῦ ὕδατός σου πίω ἐγώ τε καὶ τὰ κτήνη,
δώσω σοι τιμήν· ἀλλὰ τὸ πρᾶγμα οὐδέν ἐστι, παρὰ τὸ
20 ὄρος παρελευσόμεθα. Ὁ δὲ εἶπεν, Οὐ διελεύσῃ δι' ἐμοῦ
(*Quod Deus immutabilis*, § 31, i. 294).

18 Φησὶ γάρ· Οὐ δὴ διελεύσῃ δι' ἐμοῦ· εἰ δὲ μή γε, ἐν πολέμῳ ἐξελεύσομαί σοι εἰς συνάντησιν (*ibid.* § 35, i. 297).

25 Διὸ καὶ Ἀαρὼν ὅταν τελευτᾷ, τουτέστιν ὅταν τελειωθῇ, εἰς Ὧρ, ὅ ἐστι φῶς, ἀνέρχεται· τὸ γὰρ τέλος τοῦ λόγου, ἀλήθειά ἐστιν ἡ φωτὸς τηλαυγεστέρα, εἰς ἣν σπουδάζει ὁ λόγος ἐλθεῖν (*Leg. Allegor.* iii. § 15, i. 96).

xxi. 6 Φησὶ γάρ· Καὶ ἀπέστειλε κύριος εἰς τὸν λαὸν

οὐ δι' ἀμπ.· οὐ πιόμ. (*Quod Deus immutab.* § 31); LXX. οὐδὲ...οὐδέ.

ὕδωρ λάκκου σου (*ibid.*); Hebr. מי באר; LXX. ὕδωρ ἐκ λάκκου σου.

οὐκ ἐκκλιν. (*ibid.*); LXX. Cod. B* pr. καί; om. καί, as Philo, Codd. B[ab]AF, *Vat. Rom.*

σου τὰ ὅρια (*ibid.*); LXX. τὰ ὅριά σου.

18. ὁ δὲ Ἐδὼμ...φάσκων (*ibid.*); LXX. καὶ εἶπεν πρὸς αὐτὸν Ἐδώμ.

παρελεύσῃ (*ibid.*); LXX. διελεύσῃ.

διεξελεύσ. (*ibid.*); but in § 35, as LXX. ἐξελεύσ.

σοι εἰς συνάντησιν (*ibid.*); LXX. εἰς συνάντησίν σοι.

19. πίω (*ibid.*); LXX. πίωμεν.

τὰ κτήνη, so LXX. Cod. B; + μου Codd. AF, *Vat. Rom.*

σοι τιμὴν (*ibid.*); LXX. τιμήν σοι.

τοὺς ὄφεις τοὺς θανατοῦντας, καὶ ἔδακνον τὸν
λαόν, καὶ ἀπέθνησκε λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ
7 ...Προσελθόντες γὰρ ἔλεγον Μωϋσῇ, ὅτι ἡμαρτήκαμεν,
ὅτι κατελαλήσαμεν κατὰ κυρίου καὶ κατὰ σοῦ.
Εὖξαι οὖν πρὸς κύριον, καὶ ἀφελέτω ἡμῶν τοὺς ὄφεις.
Εὖ τὸ φάναι, οὐχ ὅτι κατελαλήσαμεν, ἡμάρτομεν,
8 ἀλλ', ὅτι ἡμάρτομεν, κατελαλήσαμεν...Τὸν κατὰ σωφρο-
σύνην οὖν ὄφιν κελεύει ὁ θεὸς Μωϋσεῖ κατασκευάσασθαι,
καί φησι· Ποίησον σεαυτῷ ὄφιν, καὶ θὲς αὐτὸν ἐπὶ
σημείου...Ὃν ἂν οὖν δάκῃ ὄφις, πᾶς ὁ ἰδὼν αὐτὸν ζήσεται
(*Leg. Allegor.* ii. §§ 19, 20, i. 80, 81).
16—18 Ἰδιώτῃ δὲ οὐδενὶ παιδείας ἐφεῖται τοῦτο τὸ φρέαρ
18 ὀρύττειν, μόνοις δὲ βασιλεῦσιν, ᾗ φησιν· Ἐλατόμησαν
αὐτὸ βασιλεῖς (*De Ebriet.* § 29, i. 375).
17 Τότε γάρ, φησίν, ᾖσεν Ἰσραὴλ τὸ ᾆσμα τοῦτο ἐπὶ τοῦ
φρέατος (*De Somn.* ii. § 41, i. 694).
27 Τότε γάρ, φησίν, ἐροῦσιν οἱ αἰνιγματισταί· Ἔλθετε
εἰς Ἑσεβών, ἵν' οἰκοδομηθῇ καὶ κατασκευασθῇ πόλις

---

xxi. 6. ἀπέθνησκε (*Leg. Allegor.* ii. § 19); LXX. ἀπέθανεν.

7. LXX. καὶ παραγενόμενος ὁ λαὸς πρὸς Μωυσῆν ἔλεγον.

ἡμαρτήκαμεν (*ibid.*), so LXX. Codd. AF; but ἡμάρτομεν Cod. B, *Vat. Rom.*, which also Philo gives in the context. Cat. Niceph. ἡμαρτήσαμεν.

κυρίου (*ibid.*); LXX. τοῦ κυρίου.

ἡμῶν τοὺς ὄφεις (*ibid.*); LXX. ἀφ' ἡμῶν τὸν ὄφιν, following the Hebrew מעלינו את־הנחש. The Vulgate gives the meaning, as Philo, by the plural 'serpentes.'

8. ὃν ἂν κ.τ.λ. (*ibid.* § 20); LXX. καὶ ἔσται ἐὰν δάκῃ ὄφις ἄνθρωπον, πᾶς ὁ δεδηγμένος ἰδὼν αὐτὸν ζήσεται. Philo omits ἄνθρωπον and δεδηγμένος for brevity.

27. τότε (*Leg. Allegor.* iii. § 80); LXX. διὰ τοῦτο.

28 Σηών. Ὅτι πῦρ ἐξῆλθεν ἐξ Ἑσεβών, φλὸξ ἐκ πόλεως
Σηών, καὶ κατέφαγεν ἕως Μωὰβ καὶ * κατέπιε * στήλας
29 Ἀρνῶν. Οὐαί σοι, Μωάβ· * ἀπώλου, λαὸς * Χαμώς.
Ἀπεδόθησαν υἱοὶ αὐτῶν σώζεσθαι, καὶ αἱ θυγατέρες
30 αὐτῶν αἰχμάλωτοι τῷ βασιλεῖ Ἀμοῤῥαίων Σηών, καὶ τὸ
σπέρμα αὐτῶν ἀπολεῖται Ἑσεβὼν ἕως Δεβών, καὶ γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ ἐπὶ Μωάβ (*Leg. Allegor.* iii. § 80, i. 132).

Καὶ αἱ γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ ἐν Μωάβ (*ibid.*).

Λέγεται γὰρ ὅτι καὶ γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ ἐπὶ Μωάβ (*De Migrat. Abr.* § 17, i. 451).

xxii. 29 Λέγει γὰρ ὄνῳ, τῇ ἀλόγῳ προαιρέσει τοῦ βίου, ᾗ πᾶς

---

28. *κατέπιε* (*ibid.*). Mangey's text has κατέπαυσε, following the MSS. But in his note he says, "Videtur autem notanter Philo scripsisse κατέπιε. Sic enim infra, κατεσθίει καὶ βιβρώσκει, καὶ καταπίνει τὰς ἐν αὐτῷ στήλας."

29. *ἀπώλου λαὸς* (*ibid.*); that this, and not ἀπόλωλε (so MSS.) is the right text is shown by Philo's words further on, ἀπολώλεκας ἀλήθειαν, λαὸς Χαμώς, τουτέστιν ὁ λαός σου καὶ ἡ δύναμις εὕρηται πηρὸς καὶ τετυφλωμένος.

υἱοὶ (*ibid.*); LXX. pr. οἱ.

σώζεσθαι (*ibid.*); LXX. διασώζεσθαι.

Ἀμοῤῥαίων (*ibid.*); LXX. pr. τῶν.

30. ἀπολεῖται (*ibid.*), so LXX. Codd. BF, *Vat. Rom.*; ἀπολεῖτε Cod. A.

Ἑσεβὼν (*ibid.*). Philo derives the name from the Hebrew חשבון, Ἑσεβὼν ἑρμηνεύεται λογισμοί.

Δεβὼν (*ibid.*); LXX. Δαιβών.

γυναῖκες (*ibid.*, *De Migrat. Abrah.* § 17), αἱ γυναῖκες (*Leg. Allegor.*), as LXX. αἱ γυναῖκες (+αὐτῶν Codd. AF).

ἐπὶ (*Leg. Allegor.*, *De Migrat. Abrah.*), as LXX.; ἐν in *Leg. Allegor.* iii. § 80.

ἄφρων ἐπιβέβηκεν, ὅτι εἰ μάχαιραν εἶχον, ἤδη ἂν ἐξεκέντησά σε (*De Cherub.* § 10, i. 144).

31 Εἶδε τὸν ἄγγελον τοῦ θεοῦ ἀνθεστῶτα (*Quod Deus immutab.* § 37, i. 299).

xxiii. 7 Ἐκ Μεσοποταμίας γάρ, φησί, μετεπέμψατό με Βαλάκ, ἐξ ὀρέων ἀπὸ ἀνατολῶν, λέγων, Δεῦρο ἄρασαί μοι, ὃν μὴ ἀρᾶται ὁ θεός (*De Confus. Ling.* § 15, i. 414).

Δεῦρο, ἄρασαί μοι τὸν Ἰακώβ, καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν Ἰσραήλ (*ibid.* § 17, i. 415).

8 (cf. Deut. xxiii. 5) Οὐδὲ γὰρ ὁ σοφιστὴς Βαλαάμ, μάταιος ὢν ὄχλος ἐναντίων καὶ μαχομένων δοξῶν, βουληθεὶς ἀρὰς τίθεσθαι καὶ βλάπτειν τὸν ἀστεῖον, ἴσχυσε· τοῦ θεοῦ τὰς κατάρας εἰς εὐλογίαν τρέποντος (*Quod det. pot. insid.* § 20, i. 205).

19 Οὐχ ὡς ἄνθρωπος ὁ θεός (*De ss. Abelis et Caini*, § 29, i. 181; *Quod Deus immutab.* § 11, i. 280; *De Migrat. Abrah.* § 20, i. 453; *De Somniis*, i. § 40, i. 656).

xxiv. 7 Ἐξελεύσεται γὰρ ἄνθρωπος, φησὶν ὁ χρησμός, καταστρατάρχων καὶ πολεμῶν, ἔθνη τε μεγάλα καὶ πολυάνθρωπα χειρώσεται (*De Praem. et Poen.* § 17, ii. 423).

---

xxii. 29. μάχαιραν εἶχον (*De Cherub.* § 10); LXX. Cod. B, *Vat. Rom.* εἶχον μάχαιραν ἐν τῇ χερί (+μου AF).

31. τοῦ θεοῦ (*Quod Deus immutab.* § 37), so LXX. Codd. AF; κυρίου Cod. B, *Vat. Rom.*, as Hebrew.

ἀνθεστῶτα (*ibid.*); LXX. ἀνθεστηκότα.

xxiii. 7. Βαλὰκ (*De Confus. Ling.* § 15); LXX. +βασιλεὺς Μωάβ.

ὃν μὴ ἀρᾶται ὁ θεὸς (*ibid.*) from the second clause of verse 8. ἀρᾶται, LXX. καταρᾶται.

xxiv. 7. καταστρατάρχων (*De Praem. et Poen.* § 17), a paraphrase of καὶ κυριεύσει ἐθνῶν πολλῶν.

21. LXX. *ἐὰν δὲ εὔξῃ εὐχὴν κυρίῳ* (om. F) *τῷ θεῷ σου, οὐ χρονιεῖς ἀποδοῦναι αὐτήν.*

xxv. 4 Ἄγαμαι δὲ κἀκεῖνον τὸν νόμον, ὃς καθάπερ ἐν χορῷ
παναρμονίῳ συνᾴδων τοῖς προτέροις διαγορεύει βοῦν
ἀλοῶντα μὴ φιμοῦν (*ibid.* § 19, ii. 399).
11, 12 Cf. *De Special. Legg.* § 31, ii. 328.
12 Πολλάκις γὰρ ὑφ[ηγεῖται] προσαψαμένην τῶν διδύ-
μων χεῖρα ἀποκόπτειν (*De Somn.* ii. § 10, i. 668).
13 Καὶ ἐν Ἐπινομίδι· Οὐκ ἔσται ἐν μαρσιππίῳ σου
15 στάθμιον [καὶ στάθμιον]· ἀληθινὸν δὲ καὶ δίκαιον ἔσται,
οὐχὶ δὲ στάθμιον μέγα καὶ μικρόν, ἵνα πληθυνθῶσιν αἱ
ἡμέραι σου ἐπὶ τῆς χθονός, ἣν κύριος ὁ θεὸς δίδωσί σοι
16 κληροδοσίαν· ὅτι βδέλυγμα κυρίῳ πᾶς ποιῶν τὰ ἄδικα
(*Quis rerum div. heres*, § 33, i. 495).
13 Δηλοῖ δὲ διὰ τούτων, φάσκων· Οὐκ ἔσται ἐν μαρσίππῳ
14 σου στάθμιον καὶ στάθμιον, μέγα ἢ μικρόν· οὐκ ἔσται ἐν

---

xxv. 13. ἔσται (*Quis rerum div. heres*, § 33, *De Somn.* ii. § 29), so LXX. Codd. AF, *Vat. Rom.*; +σοι Cod. B.

ἐν μαρσιππίῳ (-ίππῳ *De Somn.*) σου (*ibid.*); LXX. Codd. AF, *Vat. Rom.* ἐν τῷ μαρσίππῳ σου; Cod. B ἐν τῷ μαρσίππῳ.

In *De Somn.* Philo has μαρσίππῳ; in *Quis rerum div. heres* he has μαρσιππίῳ.

15. μέγα καὶ μικρὸν (*Quis rerum div. heres*), μέγα ἢ μικρὸν (*De Somn.*). Most LXX. authority is in favour of ἢ in this verse; but some cursives (H. and P.) and Cat. Niceph. read καί.

ἵνα πληθυνθῶσιν αἱ ἡμέραι σου (*Quis rerum div. heres*, § 33); LXX. ἵνα πολυήμερος γένῃ. Philo is closer to the Hebrew למען יאריכו ימיך.

κληροδοσίαν (*ibid.*); LXX. ἐν κλήρῳ.

Philo omits the addition of Codd. B^{abmg}A καὶ μέτρον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι.

16. The clause ὅτι βδέλυγμα κυρίῳ πᾶς ποιῶν τὰ ἄδικα (*ibid.*) corresponds to ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ σου πᾶς ποιῶν ταῦτα πᾶς ποιῶν ἄδικον Codd. B$^{ab(mg)}$F, *Vat. Rom.*, and ὅτι βδέλυγμα κυρίῳ τῷ θεῷ σου ἐστὶν πᾶς ποιῶν ἄδικον Cod. A^{a}. It is wanting in Cod. B.

15 τῇ οἰκίᾳ σου μέτρον καὶ μέτρον, μέγα ἢ μικρόν· στάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι (*De Somn.* ii. § 29, i. 684).

17, 18 Ὁ δὲ ὑπενδοὺς ὑπὸ τοῦ πεινῶντος ἡδονῆς καὶ λίχνου παθῶν, ὄνομα Ἀμαλήκ—ἑρμηνεύεται γὰρ λαὸς ἐκλείχων—ἐκτεμήσεται. Μηνύουσι δὲ οἱ χρησμοὶ, ὅτι λοχῶν ὁ τρόπος οὗτος· ἐπειδὰν γὰρ τὸ ἐῤῥωμενέστατον τῆς ψυχικῆς δυνάμεως κατίδῃ περαιωθέν, ὑπανιστάμενος τῆς ἐνέδρας τὸ κεκμηκὸς μέρος ὡς οὐραγίαν κόπτει (*De Migrat. Abrah.* § 26, i. 458).

18 Ὁ δὲ Ἀμαλὴκ ἔμπαλιν τοῦ ἀσκητοῦ τὴν οὐραγίαν κόπτειν [λέγεται], ἀκολουθίᾳ φύσεως (*De Ebriet.* § 7, i. 360).

xxvi. 13 Ἐξεκάθηρα τὰ ἅγια ἀπὸ τῆς οἰκίας μου, καὶ ἐταμιευσάμην ἐν τῷ τοῦ θεοῦ οἴκῳ (*De Somn.* ii. § 41, i. 695).

17, 18 Ὅθεν εὖ καὶ συμφώνως τοῖς εἰρημένοις ἐχρήσθη τὸ λόγιον ἐκεῖνο· Τὸν κύριον ἀντηλλάξω σήμερον εἶναί σοι εἰς θεόν, καὶ κύριος ἀντηλλάξατό σε σήμερον γενέσθαι λαὸν αὐτῷ (*De Poenitentia*, § 2, ii. 407).

xxvii. 2 Cf. *De Posterit. Caini*, § 29, i. 244.

---

18. LXX. καὶ ἔκοψέν σου τὴν οὐραγίαν, τοὺς κοπιῶντας ὀπίσω σου.

xxvi. 13. ἐξεκάθηρα (*De Somn.* ii. § 41), so some cursives (H. and P.) and Cat. Niceph.; LXX. generally ἐξεκάθαρα.

Mangey's note is, "Vera autem lectio tum apud hos, tum Philonem videtur, ἐξῆρα. Is enim sensus vocis Hebraeae בערתי. Sic etiam vertitur a LXX. Interpretibus Deut. xxiv. 7 καὶ ἐξαρεῖς."

ἀπὸ (*ibid.*); LXX. ἐκ.

17, 18. Only loosely quoted. Philo (*De Poenit.* § 2) substitutes ἀντηλλάξω...ἀντηλλάξατο for LXX. εἵλου...εἵλατο, but his text was probably the same as ours; for he begins the next sentence with παγκάλη γε τῆς αἱρέσεως ἡ ἀντίδοσις.

9 Κατὰ τὸ Μωϋσέως παράγγελμα, τὸ Σιώπα καὶ ἄκουε (*De Somn.* ii. § 40, i. 693).

Εἰσὶ μὲν οὖν οἷς ἀκούειν ἀλλ' οὐ λέγειν εὐπρεπές· ἐφ' ὧν λέγεται, Σιώπα καὶ ἄκουε· πάγκαλον παράγγελμα (*Quis rerum div. heres*, § 3, i. 474; *De Somn.* i. § 34, i. 650).

15 Παρ' ὃ καὶ καταρᾶται ὁ ἱερὸς λόγος τιθέντι ἐν ἀποκρύφῳ γλυπτὸν ἢ χωνευτόν, ἔργον χειρῶν τεχνίτου (*Leg. Allegor.* iii. § 11, i. 94).

17 Φησὶ δὲ Μωϋσῆς ἐν ταῖς ἀραῖς, ἐπικατάρατον εἶναι τὸν μετατιθέντα τὰ ὅρια τοῦ πλησίον (*ibid.* § 35, i. 109).

Σφόδρα καὶ Μωϋσῆς ἀχθόμενος τοῖς τοιούτοις καταρᾶται, λέγων· Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον (*De Posterit. Caini*, § 24, i. 241).

18 Ἐπικατάρατος μέντοι καὶ ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ (*Leg. Allegor.* iii. § 35, i. 109).

xxviii. 1 Ὅθεν ἐν τοῖς προτρεπτικοῖς φησίν· Ἐὰν δικαιοσύνην καὶ ὁσιότητα καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύῃς, βίον ἀπόλεμον βιώσῃ καὶ εἰς ἅπαν εἰρηνικόν κ.τ.λ. (*De Fortitud.* § 8, ii. 383).

12 Εὔχεται γὰρ Μωσῆς ὁ ἱεροφάντης, ἵνα ἀνοίξῃ κύριος ἡμῖν τὸν θησαυρὸν αὐτοῦ τὸν ἀγαθόν, τὸν οὐράνιον,

---

xxvii. 15. LXX. Cod. B ἐπικατάρατος ἄνθρωπος ὅστις ποιήσει γλυπτὸν καὶ χωνευτόν, βδέλυγμα κυρίῳ, ἔργον χειρῶν τεχνιτῶν, καὶ θήσει αὐτὸ ἐν ἀποκρύφῳ. Philo supports Codd. AF, Cat. Niceph., in reading τεχνίτου.

17. ὅρια (*De Posterit. Caini* § 24), as LXX.; pr. τὰ (*Leg. Allegor.* § 35).

xxviii. 12. αὐτοῦ τὸν ἀγαθὸν (*Quod deus immut.* § 34), so LXX. Codd. BF, *Vat. Rom.*; τὸν ἀγαθὸν αὐτοῦ Cod. A.

τῶν ἀγαθῶν (*Quis rerum div. heres*), which looks like an itacism

δοῦναι ἡμῖν τὸν ὑετὸν αὐτοῦ (*Quod Deus immut.* § 34, i. 296).

Ἀνοῖξαί σοι, φησί, κύριος τὸν θησαυρὸν αὐτοῦ τῶν ἀγαθῶν, τὸν οὐρανόν (*Quis rerum div. heres*, § 15, i. 483).

23 Θήσω γάρ, φησί, τὸν οὐρανὸν ὑμῖν χαλκοῦν, καὶ τὴν γῆν σιδηρᾶν (*De Exsecrationibus*, § 2, ii. 429).

24 Καὶ γῆ μέντοι κονιορτὸν οἴσει, καὶ χοῦς ἄνωθεν ἐξ οὐρανοῦ καταχθήσεται (*ibid.* § 2, ii. 430).

28 Τῆς μὲν οὖν πρώτης ἐν ταῖς Ἐπινομίδι γραφείσαις ἀραῖς διαμέμνηται· Παραπληξίαν γάρ, φησίν, καὶ ἀορασίαν καὶ ἔκστασιν διανοίας καταλήψεσθαι τοὺς ἀσεβοῦντας (*Quis rerum div. heres*, § 51, i. 509).

33 Τὸν γὰρ σπόρον, φησίν, ἀτελῆ μὲν ὄντα δηώσουσι, τελειωθέντα δὲ ἀμήσουσιν ἐξαίφνης ἐπελθόντες πολέμιοι (*De Exsecrat.* § 1, ii. 429).

53 Ἅψεται γὰρ καὶ πατὴρ υἱοῦ σαρκῶν, καὶ μήτηρ

---

for τὸν ἀγαθόν, is not so; for in the previous sentence Philo has spoken of ὁ τῶν θείων θησαυρὸς ἀγαθῶν.

τὸν οὐράνιον (*Quod Deus immut.* § 34), so LXX. Cod. A; τὸν οὐρανὸν (*Quis rerum div. heres*), so LXX. Codd. BF, *Vat. Rom.*

δοῦναι ἡμῖν τὸν ὑετὸν αὐτοῦ (*Quod Deus immutab.*); LXX. δοῦναι τὸν ὑετὸν τῇ γῇ σου.

23. Philo (*De Exsecrat.* § 2) gives the thought of the LXX., καὶ ἔσται σοι ὁ οὐρανὸς ὁ ὑπὲρ κεφαλῆς σου χαλκοῦς, καὶ ἡ γῆ ἡ ὑποκάτω σου σιδηρᾶ.

28. παραπληξίαν...καὶ ἀορασίαν καὶ ἔκστασιν διανοίας. Philo (*Quis rerum div. heres*, § 51) follows the reading to be found in Codd. AF, *Vat. Rom.*, according to which three distinct visitations are enumerated; according to the reading of Cod. B only two are mentioned.

LXX. Cod. B πατάξαι σε κύριος παραπληξίᾳ ἀορασίας (-ίᾳ B[ab] καὶ ἀορασίᾳ AF, *Vat. Rom.*) καὶ ἐκστάσει (pr. ἐν F) διανοίας.

σπλάγχνων θυγατρός, καὶ ἀδελφῶν ἀδελφοί, καὶ γονέων παῖδες (*ibid.* § 2, ii. 430).

61 Cf. *ibid.* § 6, ii. 433.

65, 66 *Διὰ τοῦτο ἐν ταῖς ἀραῖς γέγραπται, Ὅτι οὐκ ἀναπαύσεις, οὐδ' οὐ μὴ γένηται στάσις τῷ ἴχνει τοῦ ποδός σου· καὶ μικρὸν ὕστερον, Ὅτι ἔσται ἡ ζωή σου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν σου* (*De Posterit. Caini*, § 8, i. 230).

xxix. 4 *Οὐ γὰρ ἔσχον, ᾗ φησι Μωσῆς, οἱ τοιοῦτοι καρδίαν συνιέναι, καὶ ὀφθαλμοὺς βλέπειν, καὶ ὦτα ἀκούειν* (*De Profug.* § 22, i. 564).

xxx. 4 *Ὡς δηλοῦσιν οἱ χρησμοί, ἐν οἷς διείρηται, ὅτι ἐὰν ᾖ ἡ διασπορά σου ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξει σε* (*De Confus. Ling.* § 38, i. 435).

9, 10 *Ἐπιστρέψει γάρ, φησί, κύριος ὁ θεός σου εὐφρανθῆναι ἐπὶ σὲ εἰς ἀγαθά, καθότι ηὐφράνθη ἐπὶ τοῖς πατράσι σου·*
10 *ἐὰν εἰσακούσῃς τῆς φωνῆς αὐτοῦ, φυλάσσειν πάσας τὰς ἐντολὰς καὶ τὰ δικαιώματα καὶ τὰς κρίσεις τὰς γεγραμμένας ἐν τῇ βίβλῳ τοῦ νόμου τούτου* (*De Somn.* ii. § 26, i. 682).

---

65. *οὐκ ἀναπαύσεις* (*De Posterit. Caini*); LXX. *οὐκ ἀναπαύσει σε.*
οὐδ' οὐ (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.; οὐδὲ* Cod. A.

xxix. 4. *συνιέναι* (*De Profug.* § 22); LXX. *εἰδέναι.*

xxx. 9. *ἐπὶ σὲ* (*De Somn.* ii. § 26), so LXX. Codd. A, Coislin. Cat. Niceph.; *ἐπὶ σοὶ* Codd. BF, *Vat. Rom.*, many cursives.

10. *εἰσακούσῃς* (*ibid.*), so LXX. Codd. BF, *Vat. Rom.; εἰσακούσῃ* Cod. A, Cat. Niceph.

αὐτοῦ (*ibid.*); LXX. *κυρίου τοῦ θεοῦ σου.*

φυλάσσειν πάσας (*ibid.*); Cod. B, *Vat. Rom.* *φυλάσσεσθαι*, Codd. AF *φυλάσσεσθαι* (*-σθε* A) *καὶ ποιεῖν πάσας.*

ἐντολὰς...δικαιώματα...κρίσεις, the LXX. adds *αὐτοῦ* after each.

τῇ βίβλῳ (*ibid.*); LXX. *τῷ βιβλίῳ.*

11 ff. Φησὶ γάρ, ὅτι τουτὶ τὸ πρᾶγμα οὐκ ὑπέρογκόν ἐστιν, οὔτε μακρὰν ἀφεστώς, οὔτε κατὰ τὸν αἰθέρα ἀνωτάτω καὶ ἐν ἐσχατιαῖς τῆς μεγάλης θαλάττης, ὡς ἀδυνατῆσαι λαβεῖν, ἀλλ' ἔστιν ἐγγυτάτω, τρισὶ μέρεσι τῶν καθ' ἡμᾶς ἐνδιαιτώμενον, στόματι, καὶ καρδίᾳ, καὶ χερσί· διὰ συμβόλων, λόγοις καὶ βουλαῖς καὶ πράξεσι (*De Poenit.* § 2, ii. 406).

12 ff. Οὐ γὰρ ἂν ἀπεῖναι, φησίν, εἰς οὐρανόν, οὐδὲ πέραν θαλάττης ἀφικέσθαι δεῖ, κατὰ ζήτησιν καλοῦ· ἐγγὺς γὰρ καὶ πλησίον ἵστασθαι ἑκάστῳ. Καὶ τριχῇ αὐτὸ
14 διαιρεῖ, φυσικώτατα· Ἐν γὰρ τῷ στόματί σου, φησίν, ἐστίν, καὶ ἐν τῇ καρδίᾳ, καὶ ἐν ταῖς χερσί· τοῦτο δὲ ἐν λόγοις, ἐν βουλαῖς, ἐν πράξεσι (*De Posterit. Caini*, § 24, i. 241).

Οὗ χάριν κᾀν τοῖς προτρεπτικοῖς Μωσῆς διδάσκων, ὅτι ἡ ἀγαθὴ κτῆσις οὔτ' ἀδύνατός ἐστιν, οὔτε δυσθήρατος, φησίν· Οὐκ εἰς οὐρανὸν ἀναπτῆναι δεῖ, οὐδ' ἄχρι περάτων γῆς καὶ θαλάττης ἐλθεῖν ἐπὶ τὴν σύλληψιν αὐτοῦ· ἀλλ' ἔστιν ἐγγύς, καὶ σφόδρα ἐγγύς. Εἶτα μόνον οὐκ ὀφθαλμοφανῶς δείκνυσι· Πᾶν ἔργον, φησί, τῷ στόματί σου, καὶ τῇ καρδίᾳ, καὶ ταῖς χερσί, συμβολικῶς ἐν λόγοις, ἐν βουλαῖς, ἐν πράξεσι (*De Mutat. Nomin.* § 41, i. 614).

Ἀλλ' ἦ, φησὶ Μωσῆς, ἐγγὺς οὑτωσὶ τὸ ἀγαθὸν παρίδρυταί σοι καὶ συμπέφυκε, τρισὶ τοῖς ἀναγκαιοτάτοις μέρεσιν ἡρμοσμένον, καρδίᾳ, στόματι, χερσί· τὸ δ' ἔστι διανοίᾳ, λόγῳ, πράξεσιν (*De Somn.* ii. § 26, i. 682).

Καθάπερ καὶ ὁ σοφὸς τῶν Ἰουδαίων νομοθέτης φησίν· Ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, καὶ ἐν ταῖς χερσί σου (*Quod omnis probus liber*, § 10, ii. 456).

---

14. σου is repeated in the LXX. with καρδίᾳ and χερσί, as Philo

15 Παρ' ὃ καὶ λόγιόν ἐστι τοιοῦτον ἀναγεγραμμένον ἐν Δευτερονομίῳ· Ἰδοὺ δέδωκα πρὸ προσώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν· ἔκλεξαι τὴν ζωήν (*Quod Deus immutab.* § 10, i. 280; *De Profugis,* § 11, i. 554).

20 Μωϋσῆς δὲ τοῖς γνωρίμοις αὐτοῦ παράγγελμα κάλλιστον ὑποθήσεται, ἀγαπᾷν τὸν θεόν, καὶ εἰσακούειν καὶ ἔχεσθαι αὐτοῦ· ταύτην γὰρ εἶναι ζωὴν τὴν πρὸς ἀλήθειαν εὐήμερόν τε καὶ μακραίωνα (*De Posterit. Caini,* § 4, i. 228).

Τὸ μὲν οὖν κατὰ θεὸν ζῆν ἐν τῷ ἀγαπᾷν αὐτὸν ὁρίζεται Μωϋσῆς· λέγει γάρ, ὅτι ἡ ζωή σου τὸ ἀγαπᾷν τὸν ὄντα (*ibid.* § 20, i. 238).

Κατὰ τὰς ἱερὰς ὑφηγήσεις, ἐν αἷς διείρηται ἔχεσθαι αὐτοῦ (*De Congr. Erud. grat.* § 24, i. 538).

Καὶ ἐν ἑτέροις, Αὕτη ἡ ζωή σου καὶ ἡ μακρότης τῶν ἡμερῶν, ἀγαπᾷν κύριον τὸν θεόν σου (*De Profug.* § 11, i. 554).

xxxii. 4 Λέγει γὰρ Μωσῆς ἐν ᾠδῇ τῇ μείζονι· Θεὸς πιστός, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ (*De Mutat. Nomin.* § 34, i. 606).

---

in *Quod omnis probus liber;* but it is wanting in *De Posterit. Cain.* and *De Mutat. Nomin.*

15. Philo omits σήμερον after προσώπου σου, and adds after κακὸν the words ἔκλεξαι τὴν ζωὴν (which are wanting in the LXX.) from verse 19. τὴν ζωὴν (2°); so LXX. Codd. AF; + σὺ Cod. B, *Vat. Rom.*

20. LXX. ἀγαπᾷν κύριον τὸν θεόν σου, εἰσακούειν τῆς φωνῆς αὐτοῦ καὶ ἔχεσθαι αὐτοῦ· ὅτι τοῦτο ἡ ζωή σου καὶ ἡ μακρότης τῶν ἡμερῶν σου.

xxxii. 4. ἐν αὐτῷ (*De Mutat. Nomin.* § 34), so LXX. Codd. F^{lmg}, Coislin., over 70 cursives (H. and P.), Cat. Niceph.; omit, as Hebr., Codd. BAF*, *Vat. Rom.*

Ὅθεν καὶ ἐν ἑτέροις εὖ εἴρηται, ὅτι ἡ κρίσις τοῦ θεοῦ δικαία ἐστίν (*Fragmenta ex Catena Inedita*, ii. 678).

4, 5, 6 *Καὶ ἐν ᾠδῇ μέντοι μείζονι τὸν λεὼν ἅπαντα, ὁπότε νεωτερίζοι, τὸ τῆς ἄφρονος καὶ νηπίας ὄνομα ἡλικίας τέκνα καλεῖ. Δίκαιος γάρ, φησί, καὶ ὅσιος ὁ κύριος, ἥμαρτον οὐκ αὐτῷ, τέκνα μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη· Ταῦτα κυρίῳ ἀνταποδίδοτε; Οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός;* (*De Sobriet.* § 3, i. 394).

7 *Καὶ ἐν ἑτέροις, Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγ-*
8 *γελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι. Ὅτε*
διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστη-
9 *σεν ὅρια ἐθνῶν κατ' ἀριθμὸν ἀγγέλων θεοῦ· καὶ ἐγένετο*
μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας
αὐτοῦ Ἰσραήλ (*De Posterit. Caini*, § 25, i. 241).

ὁ κύριος (*De Sobriet.* § 3); om. *ὁ* LXX.

5. *ἥμαρτον* (*ibid.*); LXX. *ἡμάρτοσαν.*

6. *οὕτω* (*ibid.*), so LXX. Codd. BAF (*οὕτως*); *οὗτος* Cod. Coislin., many cursives, and Cat. Niceph.

Siegfried "doch scheint Cod. Med. die ursprüngl. Lesart *οὗτος* zu haben." But *οὕτω* is more probably a second rendering of זאת, and has only passed into this clause because it seemed otiose after *ταῦτα*. The punctuation of the LXX. is after *οὕτω* in Cod. B (ed. Swete), after *ἀνταποδίδοτε* in *Vat. Rom.*

8. *διεμέριζεν* (*De Posterit. Cain.* § 25), so LXX. Codd. BA, *Vat. Rom.*; *διεμέρισεν* (*De Plantat. Noe*, § 14), so LXX. Cod. F.

κατ' ἀριθμὸν (*De Posterit. Cain.*); *κατὰ ἀριθμὸν* (*De Plantat. Noe*), so LXX.

ἀγγέλων θεοῦ (*ibid.*), so LXX., Clem. Rom. c. xxix.; Iren. iii. § 12. 9, i. p. 487, ed. Stieren; Clem. Alex. *Strom.* vi. 2, tom. ii. p. 832, ed. Potter. The Hebrew is בני ישראל; so Aq. Sym. and Sam.

9. *ἐγένετο*, so Philo in both quotations; *ἐγενήθη* LXX.

αὐτοῦ Ἰακώβ...αὐτοῦ Ἰσραήλ (*De Posterit. Cain.*), so LXX.; *αὐτοῦ Ἰσραήλ* (*De Plantat. Noe*) is probably merely due to compression.

Καὶ διὰ τοῦτο μέντοι καὶ ἐν ᾠδῇ τῇ μείζονι λέγεται·
7 *Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς*
8 *πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι. Ὅτε διεμέρισεν ὁ*
ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια
9 *ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ, καὶ ἐγένετο μερὶς*
κυρίου λαὸς αὐτοῦ Ἰσραήλ (*De Plantat. Noe*, § 14,
i. 338).

8 *Ἔστι δὲ καὶ ἑτέρωθι τὸ γράμμα τοῦτο ἐστηλιτευμένον· Ἡνίκα διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ* (*De Congr. Erud. grat.* § 12, i. 527).

10–12 [Et illud in Magni cantico: "Servavit eum sicut pupillam oculi. Sicut aquila proteget pullos suos, et in pullos suos misertus est, extendit alas suas et recepit eos, et levavit eos super medium dorsum suum. Dominus solus ducebat eos, et non erat cum eis deus alienus" (*De Deo*, § 11, A. ii. 618).]

13 *Ἀλλὰ τοὺς ἐραστὰς ἐπιστήμης ἐν ᾠδῇ μεγάλῃ φησίν, ὅτι ἀνεβίβασεν ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, καὶ ἐψώμισε γεννήματα ἀγρῶν......ὡς ὁ νομοθέτης φησί· Μέλι ἐκ πέτρας, καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας* (*Quod det. potiori insid.* § 30, 31, i. 213).

Οὗτοι μὲν οὖν, ὡς ἔφην, ἐπὶ τὴν ἰσχὺν τῆς γῆς ἀναβιβάζονται (*ibid.* § 31, i. 214).

15 *Μάρτυς δὲ ὁ νόμος ἐν ᾠδῇ μείζονι λέγων οὕτως·*

---

10. 'Magni' (*De Deo*); apparently referring to Moses. But 'magno' seems more probable; cf. *ἐν ᾠδῇ τῇ μείζονι.*

12. 'et non erat' (*ibid.*), =*οὐκ ἦν*, so LXX. Cod. B, *Vat. Rom.*; pr. *καὶ* Codd. AF, Coislin.

13. LXX. *ἀνεβίβασεν αὐτοὺς...ἐψώμισεν αὐτούς* (om. *καὶ*).

Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε θεὸν τὸν ποιήσαντα αὐτόν, καὶ ἐπελάθετο θεοῦ σωτῆρος αὐτοῦ (*De Posterit. Caini*, § 35, i. 248; *De Congr. Erud. grat.* § 28, i. 542).

18 *Θεὸν τὸν γεννήσαντά σε* (*De Confus. Ling.* § 28, i. 426).

32 *Ἐκ γὰρ τῆς ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, ᾗ φησὶ Μωϋσῆς, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας· ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτοῖς.*
33 *Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος* (*De Ebriet.* § 53, i. 391; *De Somn.* ii. § 29, i. 684).

34 *Εἰσὶ γὰρ ὥσπερ ἀγαθῶν, οὕτω καὶ κακῶν παρὰ τῷ θεῷ θησαυροί, ὡς ἐν μεγάλῃ φησὶν ᾠδῇ· Οὐκ ἰδοὺ ταῦτα συνῆκται παρ' ἐμοί, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς*
35 *μου, ἐν ἡμέρᾳ ἐκδικήσεως, ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν;* (*Leg. Allegor.* iii. § 34, i. 108).

39 *Διόπερ ἐν ᾠδῇ μείζονι λέγεται ἐκ προσώπου τοῦ θεοῦ· Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι* (*De Posterit. Caini*, § 48, i. 258).

Μάρτυς δὲ καὶ χρησμός, ἐν ᾧ λέγεται· Ἐγὼ ἀποκτενῶ,

---

15. *ἐγκατέλιπε* (*De Posterit. Cain.* § 35), so LXX. Cod. B, *Vat. Rom.*; *ἐγκατέλειπεν* Codd. AF, Cat. Niceph.

θεὸν (*ibid.*), so LXX. Codd. AF, Coislin., Cat. Niceph.; pr. *τὸν* Cod. B, *Vat. Rom.*

ἐπελάθετο (*ibid.*); LXX. *ἀπέστη ἀπό.*

Philo gives a more definite rendering of וינבל than the LXX.

32. *τῆς* (*De Ebriet.* § 53); om. LXX.

ἡ σταφυλὴ (*ibid.*), so LXX. Codd. AF, Coislin., Cat. Niceph., over 70 cursives (H. and P.); om. *ἡ* Cod. B, *Vat. Rom.*

35. Philo (*Leg. Allegor.* iii. § 34) omits *ἀνταποδώσω* (LXX.) after *ἐκδικήσεως.*

ὅταν (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.*; pr. *ἐν καιρῷ* Codd. AF.

καὶ ζῆν ποιήσω, πατάξω, κἀγὼ ἰάσομαι (*De Somn.* ii. § 44, i. 698).

xxxiii. cap. tot. *Διὸ καὶ ἐν ταῖς εὐλογίαις, ὁ μὲν πατὴρ αὐτοὺς ἐν τάξει ἑνὸς κατηρίθμει, διὰ τὸ σύμφωνον τῆς ὁμονοίας καὶ τῆς πρὸς ἓν καὶ τὸ αὐτὸ μέρος ὁρμῆς. Ὁ δὲ Μωσῆς οὐδὲ δυάδος ἔτι μέμνηται, ἀλλ' ὅλον τὸν Συμεὼν εἰς τὸν Λευῒ ἐνεχάραξε, δύο οὐσίας κερασάμενος, ἀφ' ὧν ἕνα εἰργάσατο, οἷον ἰδέᾳ μιᾷ τυπωθέντα, τὸ ἀκούειν τῷ πράττειν ἑνώσας* (*De Mutat. Nomin.* § 36, i. 608).

1 *Δηλοῦται δὲ τοῦτο μάλισθ' ὡς ἐπὶ Μωϋσέως· Αὕτη γάρ, φησίν, ἡ εὐλογία ἣν εὐλόγησε Μωϋσῆς, ἄνθρωπος θεοῦ* (*ibid.* § 3, i. 582; cf. § 22, i. 597).

3 *Νόμος δὲ οὐδὲν ἄρα ἢ λόγος θεῖος, προστάττων ἃ δεῖ, καὶ ἀπαγορεύων ἃ μὴ χρή, ὡς μαρτυρεῖ φάσκων, ὅτι*
4 *ἐδέξατο ἀπὸ τῶν λόγων αὐτοῦ νόμον* (*De Migrat. Abrah.* § 23, i. 456).

6 *Ζήτω Ῥουβίμ, καὶ μὴ ἀποθανέτω* (*De Mutat. Nom.* § 38, i. 610).

[Vivet Ruben et non morietur, fiatque multiplex numero (*Quaestt. et Sol. in Gen.* iv. § 123, A. ii. 341).]

9 *Ἔστι δέ τις ἕτερος τοὐναντίον εἰρημένος, ὁ Λευΐ, ὁ*

---

xxxiii. 1. *εὐλόγησε* (*De Mutat. Nomin.* § 3), so LXX. Cod. B (-*εν*), Cat. Niceph.; *ηὐλόγησεν* Codd. AF, *Vat. Rom.* (-*σε*).

θεοῦ (*ibid.*); pr. *τοῦ* LXX.

4. *νόμον* (LXX. Cod. F *λόγον*) is connected by Philo (*De Migrat. Abrah.* § 23) with verse 3; in the LXX. it begins verse 4.

6. *Ῥουβίμ* (*De Mutat. Nomin.* § 38), so Cat. Niceph., Procop. Gaz.; LXX. *Ῥουβήν*; so 'Ruben' (*Quaestt.*)

'fiatque multiplex' (*Quaestt.*), = LXX. *καὶ ἔστω πολύς*. Philo does not support the reading of Cod. A *καὶ Συμεὼν ἔστω πολύς*.

λέγων τῷ πατρὶ καὶ τῇ μητρί· Οὐχ *ἑώρακέ* σε, καὶ τοὺς ἀδελφοὺς οὐκ ἐπέγνω, καὶ τοὺς υἱοὺς ἀπέγνω (*Leg. Allegor.* ii. § 14, i. 75).

9 Διὸ καὶ ὁ Μωϋσῆς ἐν ταῖς εὐλογίαις Λευὶ πολλὰ καὶ θαυμάσια προειπών, ἐπιφέρει· Ἐφύλαξε τὰ λόγιά σου,
10 καὶ τὴν διαθήκην σου διετήρησεν· εἶθ' ἑξῆς· Δηλώσουσι τὰ δικαιώματά σου Ἰακώβ, καὶ τὸν νόμον σου Ἰσραήλ (*Quod det. pot. insid.* § 19, i. 204).

9 Οὗτός ἐστιν ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί, τοῖς θνητοῖς γονεῦσιν· Οὐχ ἑώρακα ὑμᾶς, ἀφ' οὗ τὰ θεῖα εἶδον—ὁ μὴ γνωρίζων τοὺς υἱούς, ἀφ' οὗ γνώριμος σοφίας ἐγένετο, ὁ ἀπογινώσκων τοὺς ἀδελφούς (*De Ebriet.* § 17, i. 367).

Ὁ γοῦν ἀρχηγέτης τοῦ θιάσου τούτου λέγων εἰσάγεται τῷ πατρὶ καὶ τῇ μητρί· Οὐχ ἑώρακα ὑμᾶς, καὶ τοὺς ἀδελφοὺς οὐ γινώσκω, καὶ τοὺς υἱοὺς ἀπογινώσκω (*De Profug.* § 17, i. 559).

xxxiv. 4 Ἔδειξα τοῖς ὀφθαλμοῖς σου, καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ (*De Migrat. Abrah.* § 9, i. 443).

5 Ἡνίκα γοῦν τελευτᾷν ἔμελλεν, οὐκ ἐκλείπων προστίθεται, ὥσπερ οἱ πρότεροι, μήτε πρόσθεσιν μήτε ἀφαίρεσιν

---

9. πατρὶ...μητρὶ (*Leg. Allegor.* ii. § 14), so LXX. Cod. B, *Vat. Rom.*, Procop. in Cat. Niceph.; + αὐτοῦ...αὐτοῦ Codd. AF.

ἑώρακέ σε (*Leg. Allegor.*); but ἑώρακα ὑμᾶς (*De Ebriet.*, *De Profug.*); LXX. ἑώρακά σε.

οὐκ ἐπέγνω...ἀπέγνω (*Leg. Allegor.*); so LXX. Cod. B, *Vat. Rom.*; οὐκ ἔγνω (om. καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω) Cod. A, Procop. in Cat. Niceph.; ἐπέγνω...οὐκ ἐπέγνω Cod. F.

The quotation in *De Profug.* suggests the existence of an early reading, οὐκ ἔγνω...ἀπέγνω.

κεχωρηκώς, ἀλλὰ διὰ ῥήματος τοῦ αἰτίου μετανίσ-
6 *ταται, δι' οὗ καὶ ὁ σύμπας κόσμος ἐδημιουργεῖτο...Παρ'*
ὃ καὶ τὴν ταφὴν λέγεται μηδὲ εἷς εἰδέναι τούτου (*De ss.*
Abelis et Caini, § 3, i. 165).

7 *Λέγει γάρ· Ἔσονται αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν*
εἴκοσιν. Ἀλλὰ καὶ Μωϋσῆς τῶν ἴσων γενόμενος ἐτῶν
τοῦ θνητοῦ βίου μετανίσταται (*De Gigant.* § 12, i. 270).

10 Καὶ *πάλιν·* Οὐκ *ἀνέστη ἔτι προφήτης ὡς* Μωϋσῆς, *ὃν*
ἔγνω αὐτὸν Κύριος *πρόσωπον πρὸς πρόσωπον* (*Quis rer.*
div. heres, § 52, i. 511).

---

xxxiv. 5. *αἰτίου* (*De ss. Abelis et Caini*, § 3). Perhaps *ἀϊδίου* should be read.

10. *προφήτης* (*Quis rerum div. heres*, § 52); LXX. + *ἐν* Ἰσραήλ. *πρόσωπον πρὸς πρόσωπον* (*ibid.*); LXX. *πρόσωπον κατὰ πρόσωπον.*

JOSHUA.

i. 5 *Διόπερ λόγιον τοῦ ἵλεω θεοῦ μεστὸν ἡμερότητος... ἀνήρηται τοιόνδε· Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω* (*De Confus. Ling.* § 32, i. 430).

ii. 11 *Διὸ κἂν που τῆς νομοθεσίας λέγηται· Ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω, μηδεὶς ὑποτυπησάτω αὐτὸν κατὰ τὸ εἶναι λέγεσθαι* (*De Migrat. Abrah.* § 32, i. 464).

---

i. 5. *οὐ μή σε* (*De Confus. Ling.* § 32); LXX. Cod. B, *Vat. Rom.* καὶ οὐκ ἐνκαταλείψω (ἐγκ. B[b]F; ἐγκαταλείπω A) σε, οὐδὲ ὑπερόψομαί σε.

It should be observed that, while Philo's rendering is more faithful to the Hebrew, לֹא־אַרְפְּךָ וְלֹא־אֶעֶזְבֶךָּ, it agrees exactly with the rendering quoted in Hebr. xiii. 5.

Cf. Ὧν μὲν γὰρ προνοεῖται, ὁ λόγος φησίν, Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω (Basil. *Append. Opp. Comm. in Isai.* cap. v. tom. i. p. 679, ed. Garnier).

ii. 11. LXX. Cod. B κύριος ὁ θεὸς ὑμῶν ὃς ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω; but Cod. A, *Vat. Rom.*, Cat. Niceph. have θεὸς for ὅς.

JUDGES.

viii. 9 Ὤμοσε γάρ, φησί, Γεδεὼν τοῖς ἀνδράσι Φανουήλ, λέγων· Ἐν τῷ με ἐπιστρέφειν μετ' εἰρήνης, τὸν πύργον τοῦτον κατασκάψω (*De Confus. Ling.* § 26, i. 424).

xiii. 6 Vir Dei venit ad nos, et visio ejus sicut visio angeli (*Sermo de Sampsone*, § 11, A. ii. 555).

16 Non novit Manue quod angelus Domini esset (*ibid.*).

17, 18 Quid est, ait, tibi nomen, ut saltem hujus memoriam recolamus?...Cur quaeris nomen meum? inquit. Id autem mirabile est (*ibid.* § 15, A. ii. 558).

22 Nemo videns vultum meum vivet (*ibid.* § 18, A. ii. 559).

---

viii. 9. ὤμοσε (*De Confus. Ling.* § 26); LXX: καὶ εἶπεν. But ὤμοσε is read in "59, 75, 118" (H. and P.).

τοῖς ἀνδράσι (*ibid.*), so LXX. Cod. A and several cursives (H. and P.); πρὸς ἄνδρας Cod. B, *Vat. Rom.*, Cat. Niceph. (πρὸς τοὺς ἄνδρας).

λέγων (*ibid.*), as Hebr.; so LXX. Cod. A, and some cursives; om. Cod. B, *Vat. Rom.*, Cat. Niceph.

ἐν τῷ με ἐπιστρέφειν (*ibid.*); LXX. Cod. A ἐν τῷ ἐπιστρέφειν με; Cod. B, *Vat. Rom.*, Cat. Niceph. ἐν ἐπιστροφῇ μου.

τὸν πύργον τοῦτον κατασκάψω (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.*, Cat. Niceph.; κατασκάψ. τ. πύργ. τοῦτ. Cod. A.

xiv. 6 Et dilaceravit leonem, quasi haedum caprarum quis discerpsisset, nihil omnino habens in manu (*ibid.* § 27, A. ii. 565).

14 De comedente exivit cibus, et de forti egressa est dulcedo (*ibid.* § 30, A. ii. 567).

15 Nec potuerunt per tres dies propositionem solvere.
Et dixerunt ad uxorem Sampsonis: Blandire viro tuo ut
17 decipias...Et flevit mulier super eum septem diebus
convivii (*ibid.* § 39, A. ii. 573).

18 Quid dulcius melle, et quid fortius leone?...Si enim non arassetis in vitula mea, non invenissetis propositionem meam (*ibid.* § 41, A. ii. 574).

Si non arassetis in vitula mea, non novissetis parabolam meam (*ibid.* § 42, A. ii. 574).

xvi. 17 [Novacula non ascendat super caput meum (*Sermo de Sampsone,* § 1, A. ii. 550).]

---

xiv. 6. 'haedum caprarum' (*De Sampsone,* § 27), so *ἔριφον αἰγῶν* LXX. Cod. A, *Vat. Rom.*, Cat. Niceph.; om. *αἰγῶν* Cod. B.

14. 'De comedente' (*ibid.* § 30). Philo agrees with the Hebr., and the rendering of LXX. Cod. A *ἐκ τοῦ ἔσθοντος ἐξῆλθεν βρῶσεις καὶ ἐξ ἰσχυροῦ γλυκύ*, cf. Basil. *Hom. in Ps.* xiv. § 5, Chrysost. *Synops. Sacr. Scriptur.* tom. vi. p. 339, ed. Migne. But Cod. B *τί βρωτὸν ἐξῆλθεν ἐκ βιβρώσκοντος καὶ ἀπὸ ἰσχυροῦ γλυκύ*; so *Vat. Rom.*, Cat. Niceph.

18. 'arassetis' (*ibid.* § 42), so LXX. Cod. B, *Vat. Rom.* *ἠροτριάσατε ἐν τῇ δαμάλει μου*; Cod. A *κατεδαμάσατέ μου τὴν δάμαλιν*; Cat. Niceph. *κατεδαμάσατε τὴν δάμαλίν μου.*

I. SAMUEL.

i. 14 *Διὸ καὶ λέγεται πρὸς αὐτὴν ὑπὸ παιδαρίου τινός, οὐχ ἑνὸς ἀλλ' ὑπὸ παντὸς τοῦ νεωτερίζειν καὶ τὰ καλὰ χλευάζειν ἀκμὴν ἔχοντος, Ἕως πότε μεθυσθήσῃ; περιελοῦ τὸν οἶνόν σου* (*De Ebriet.* § 36, i. 379).

15 *Διὰ τοῦτο ὁ καὶ βασιλέων καὶ προφητῶν μέγιστος Σαμουὴλ οἶνον καὶ μέθυσμα, ὥς ὁ ἱερὸς λόγος φησίν, ἄχρι τελευτῆς οὐ πίεται* (*ibid.* § 36, i. 379).

Ὦ θαυμάσιε, γυνὴ ἡ σκληρὰ ἡμέρα ἐγώ εἰμι, καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχεῶ τὴν ψυχήν μου ἐνώπιον κυρίου (*ibid.* § 36, i. 380).

Τί γὰρ ἦν τό, Ἐκχεῶ τὴν ψυχήν μου ἐναντίον κυρίου, ἢ σύμπασαν αὐτὴν ἀνιερώσω; (*ibid.* § 37, i. 380).

---

i. 14. *σου* (*De Ebriet.* § 36), so LXX. Cod. B, *Vat. Rom.; ἀπὸ σοῦ* Cod. A, as Heb. מעליך.

The words *ὑπὸ παιδαρίου τινός* shew that Philo follows the LXX., *καὶ εἶπεν αὐτῇ τὸ παιδάριον Ἠλεί.* The Hebrew has nothing corresponding to *τὸ παιδάριον.* Josephus *Ant.* iv. 10 agrees with the Hebr. For the LXX., cf. Chrysost. *De Anna*, Sermo ii. *ἦλθεν εἰς τὸν ναόν, καὶ τὸ παιδάριον τοῦ ἱερέως ὕβρισε* (tom. iv. p. 656, ed. Migne).

15. *ὦ θαυμάσιε* (*ibid.* § 36); LXX. *οὐχὶ κύριε* (+*μου* A).

ἐκχεῶ (*ibid.*); LXX. *ἐκχέω.* It is clear from *De Ebriet.* § 37 *ἀνιερώσω*, that Philo regarded this word as in the future tense.

28 Λέγει γὰρ ἐν τῇ πρώτῃ τῶν βασιλειῶν αὕτη τὸν τρόπον τοῦτον· Δίδωμί σοι αὐτὸν δοτόν, ἐν ἴσῳ τῷ δοτὸν ὄντα· ὥστ᾽ εἶναι, τὸν δεδομένον δίδωμι (*Quod Deus immutab.* § 2, i. 273).

Ἐγγυᾶται δέ μου τὸν λόγον ἡ προφῆτις καὶ προφητοτόκος Ἄννα, ἧς μεταληφθὲν τοὔνομα καλεῖται χάρις. Τὸν γὰρ υἱὸν διδόναι φησὶ τῷ ἁγίῳ δῶρον Σαμουήλ, οὐκ ἄνθρωπον μᾶλλον ἢ τρόπον ἐνθουσιῶντα καὶ κατεχόμενον ἐκ μανίας θεοφορήτου· Σαμουὴλ δὲ ἑρμηνεύεται τεταγμένος θεῷ (*De Somn.* i. § 43, i. 658).

ii. 5 Τὸ ᾆσμα, ἐν ᾧ περιέχεται τό, Στεῖρα ἔτεκεν ἑπτά, ἡ δὲ πολλὴ ἐν τέκνοις ἠσθένησε (*Quod Deus immutab.* § 3, i. 274; *De Mutat. Nomin.* § 25, i. 600).

ix. 9 Τοὺς γὰρ προφήτας ἐκάλουν οἱ πρότερον, τοτὲ μὲν ἀνθρώπους θεοῦ, τοτὲ δὲ ὁρῶντας (*Quod Deus immut.* § 29, i. 293).

Ὁ δὲ ὁρῶν ἐστὶν ὁ σοφός· τυφλοὶ γὰρ ἢ ἀμυδροὶ τὰς ὄψεις οἵ γε ἄφρονες· διὰ τοῦτο καὶ τοὺς προφήτας ἐκάλουν πρότερον τοὺς βλέποντας (*De Migrat. Abrah.* § 8, i. 442).

Μόνον οὖν βλέπει ὁ ἀστεῖος, οὗ χάριν καὶ τοὺς προφήτας ὠνόμασαν οἱ παλαιοὶ ὁρῶντας (*Quis rerum div. heres*, § 15, i. 483).

x. 22 Ὁ ταχθεὶς τὴν ἀρίστην τάξιν παρὰ θεῷ τρόπος, ὄνομα Σαμουήλ, οὐχ ὑφηγεῖται τὰ τῆς βασιλείας δίκαια

---

28. Philo lays special stress on the words δοτὸν and δίδωμι, which do not appear in the LXX. κἀγὼ κιχρῶ αὐτὸν τῷ κυρίῳ κ.τ.λ.

ii. 5. ἡ δὲ πολλὴ (*Quod Deus immutab.* § 3); LXX. καὶ ἡ πολλή.

ix. 9. LXX. ὅτι τὸν προφήτην ἐκάλει ὁ λαὸς ἔμπροσθεν Ὁ βλέπων.

τῷ Σαοὺλ, οὐδ' ἔτι διατρίβοντι ἐν τοῖς σκεύεσιν· ἀλλ'
ἐπειδὰν ἐκεῖθεν ἐξελκύσῃ. Πυνθάνεται μὲν γὰρ εἰ ἔτι
ἔρχεται ἐνθάδε ὁ ἀνήρ. Ἀποκρίνεται δὲ τὸ λόγιον· Ἰδοὺ
23 αὐτὸς κέκρυπται ἐν τοῖς σκεύεσι...Ἐπιδραμὼν γάρ,
φησί, λαμβάνει αὐτὸν ἐκεῖθεν (*De Migrat. Abrah.* § 36,
i. 467).

---

x. 23. ἐπιδραμὼν (*De Migrat. Abrah.* § 36); LXX. καὶ ἔδραμεν καί.

I. KINGS.

xvii. 10 *Μέμνηται δὲ τοῦτο καὶ ἡ ἐν ταῖς βασιλείαις ἐντυγχάνουσα τῷ προφήτῃ γυνή. Χήρα δ' ἐστίν* (*Quod deus immut.* § 29, i. 293).

18 *Λέγει γὰρ πρὸς τὸν προφήτην πᾶσα διάνοια, χήρα καὶ ἐρήμη κακῶν μέλλουσα γίνεσθαι· Ἄνθρωπε τοῦ θεοῦ, εἰσῆλθες πρός με ἀναμνῆσαι τὸ ἀδίκημά μου καὶ τὸ ἁμάρτημά μου* (*ibid.*).

---

xvii. 10. *χήρα δ' ἐστίν* (*Quod deus immutab.* § 29); LXX. *καὶ ἰδοὺ ἐκεῖ γυνὴ χήρα.*

18. *ἄνθρωπε* (*ibid.*), so LXX. Cod. A, *Vat. Rom.*, Cat. Niceph.; *ὁ ἄνθρωπος* Cod. B.

ἀναμνῆσαι κ.τ.λ. (*ibid.*); LXX. *τοῦ ἀναμνῆσαι* (+*τὰς* Cod. A) *ἀδικίας μου.*

I. CHRONICLES.

vii. 14 *Λέγεται γάρ· Ἐγένοντο υἱοὶ Μανασσῆ, οὓς ἔτεκεν αὐτῷ ἡ παλλακὴ Σύρα, τὸν Μαχείρ· Μαχεὶρ δὲ ἐγέννησε τὸν Γαλαάδ* (*De Congr. erud. grat.* § 8, i. 525).

ix. 17 *Ἦσαν δή τινες τεταγμένοι νεωκόροι καὶ ἱερόδουλοι, τὴν πυλωρῶν τεταγμένοι τάξιν* (*De Proem. et Poen.* § 13, ii. 420).

---

vii. 14. Philo's quotation is probably from this passage: LXX. Cod. B *Υἱοὶ Μανασσή· Ἀσερειήλ* (*Ἐσριήλ* Cod. A), *ὃν ἔτεκεν ἡ παλλακὴ αὐτοῦ ἡ Σύρα· ἔτεκεν τὸν Μαχεὶρ πατέρα Γαλαάδ.*

ix. 17. The mere mention of *πυλωροὶ* by Philo hardly gives ground for confidence in supposing that he refers to this passage in 1 Chron., commencing *οἱ πυλωροί· Σαλώμ, κ.τ.λ.*

EZRA.

viii. 2 Ἄγαμαι καὶ τῶν ἐν βασιλικαῖς βίβλοις ἱεροφαντηθέντων, καθ' ἃς οἱ πολλαῖς γενεαῖς ὕστερον ἀκμάσαντες καὶ βιώσαντες ὑπαιτίως υἱοὶ τοῦ τὸν θεὸν ὑμνήσαντος Δαβὶδ ἀναγράφονται (*De Confus. Ling.* § 28, i. 427).

---

viii. 2. The allusion of Philo is possibly to the words of this verse, LXX. Cod. B ἀπὸ υἱῶν Δαυείδ, Τούς (Ἀττούς Cod. A, *Vat. Rom.*).

JOB.

xiv. 4 Τίς γάρ, ὥς ὁ Ἰώβ φησι, καθαρὸς ἀπὸ ῥύπου, κἂν μία ἡμέρα ἐστὶν ἡ ζωή; (*De Mutat. Nomin.* § 6, i. 585).

---

xiv. 4. LXX. Codd. B*AC, *Vat. Rom.* τίς γὰρ καθαρὸς ἔσται (ἔστε καθαρός Cod. A) ἀπὸ ῥύπου (ῥείπου Cod. C); ἀλλ' οὐθείς. ἐὰν καὶ μία ἡμέρα (μίας ἡμέρας Cod. A) ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς.

PSALMS.

xxii. (xxiii.) 1 Τούτου δὲ ἐγγυητὴς οὐχ ὁ τυχών, ἀλλὰ καὶ προφήτης ἐστίν, ᾧ καλὸν πιστεύειν, ὁ τὰς ὑμνῳδίας ἀναγράψας. Λέγει γὰρ ὧδε· Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει (*De Agricult.* § 12[bis], i. 308).

Ἄιδεται δὲ καὶ ἐν ὕμνοις ᾆσμα τοιοῦτον· Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει (*De Mutat. Nomin.* § 20, i. 596).

xxvi. (xxvii.) 1 Κύριος γὰρ φῶς μου καὶ σωτήρ μου, ἐν ὕμνοις ᾄδεται (*De Somn.* i. § 13, i. 632).

xxx. (xxxi.) 19 Καθ' ἃ καὶ τῶν Μωϋσέως γνωρίμων τις ἐν ὕμνοις εὐχόμενος εἶπεν· Ἄλαλα γενέσθω τὰ χείλη τὰ δόλια (*De Confus. Ling.* § 11, i. 410).

xxxvi. (xxxvii.) 4 Τούτου τοῦ γανώματος ἀκράτου τις σπάσας, ὁ τοῦ Μωσέως δὲ θιασώτης, ὃς οὐχὶ τῶν ἠμελημένων ἦν, ἐν ὑμνῳδίαις ἀνεφθέγξατο πρὸς τὸν ἴδιον νοῦν

---

xxii. 1. ποιμαίνει; Philo, as LXX. Codd. Bℵ[ca]RU, *Vat. Rom.*; ποιμανεῖ Codd. ℵ*A.

με 2°, so LXX. Codd. BAR, *Vat. Rom.*; pr. οὐ μὴ Codd. ℵU.

xxvi. 1. φῶς μου (*De Somn.* i. § 13); LXX. φωτισμός μου.

xxx. 19. γενέσθω (*De Confus. Ling.* § 11); LXX. Cod. B γενηθήτωσαν; Codd. ℵARU, *Vat. Rom.* γενηθήτω.

φάσκων· Κατατρύφησον τοῦ κυρίου (*De Plantat. Noe*, § 9, i. 335).

Καλεῖ δὲ τὴν μὲν τοῦ Ὄντος σοφίαν Ἐδέμ, ἧς ἑρμηνεία τρυφή, διότι, οἶμαι, ἐντρύφημα καὶ θεοῦ σοφία, καὶ σοφίας θεός, ἐπεὶ καὶ ἐν ὕμνοις ᾄδεται· Κατατρύφησον τοῦ κυρίου (*De Somn.* ii. § 37, i. 690).

xli. (xlii.) 4 Ἐγένετό μοι τὰ δάκρυά μου ἄρτος ἡμέρας καὶ νυκτός (*De Migrat. Abrah.* § 28, i. 460).

xlv. (xlvi.) 5 Ἔστι δὲ καὶ ἕτερον ᾆσμα τοιοῦτον· Τὸ ὅρμημα τοῦ ποταμοῦ εὐφραίνει τὴν πόλιν τοῦ θεοῦ (*De Somn.* ii. § 37, i. 691).

lxi. (lxii.) 12 Τοῖς δ' εἰρημένοις ὅμοιόν ἐστι καὶ τὸ ἑτέρωθι λεχθέν, Ἅπαξ κύριος ἐλάλησε, δύο ταῦτα ἤκουσε (*Quod deus immutab.* § 18, i. 285).

lxiv. (lxv.) 10 Τοῦτον τὸν λόγον εἰκάσας ποταμῷ τις τῶν ἑταίρων Μωϋσέως ἐν ὕμνοις εἶπεν, Ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων (*De Somn.* ii. § 37, i. 691).

lxviii. (lxix.) 34 [Auscultavit dominus egenis (*Quaestt. et Sol. in Genesin, Sermo* iv. § 147, A. ii. 356).]

lxxiv. (lxxv.) 9 Διὰ τοῦτο καὶ ἐν ἑτέροις εἴρηται· Ποτήριον

---

xxxvi. 4. κατατρύφησον τοῦ κυρίου; Philo as LXX., except (Cod. A καταφρύτησον,) Cod. R τῷ κυρίῳ.

xli. 4. ἐγένετο (*De Migrat. Abrah.* § 28); ἐγενήθη LXX. (+μοι Cod. R).

μου (*ibid.*), so LXX. Cod. B; +μοι Cod. ℵ[ca], ἐμοὶ Codd. AT. Orig. *Select. in Pss.* Ἐγενήθη τὰ δάκρυά μου ἐμοί.

xlv. 5. LXX. τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσιν. For Philo's rendering, cf. "fluminis impetus laetificat," *Vet. Lat.*, quoted by H. and P.

lxi. 12. LXX. ἅπαξ ἐλάλησεν ὁ θεός, δύο ταῦτα ἤκουσα.

ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος, καίτοι τὸ κεκραμένον οὐκ ἄκρατον (*Quod deus immutab.* § 17, i. 284).

lxxvii. (lxxviii.) 49 *Μαρτυρεῖ δέ μου τῷ λόγῳ τὸ παρὰ τῷ ὑμνογράφῳ εἰρημένον ἐν ᾄσματι τούτῳ· Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν* (*De Gigant.* § 4, i. 264).

Μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ ὑμνογράφος οὑτωσὶ λέγων· Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ δι' ἀγγέλων πονηρῶν (*De Mundo*, § 3, ii. 605).

lxxix. (lxxx.) 6 *Περὶ ὧν ἐν ὕμνοις εἴρηται· Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων* (*De Migrat. Abrah.* § 28, i. 460).

7 *Ἔθετο γὰρ ἡμᾶς ὁ θεὸς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, ὡς καὶ ἐν ὕμνοις πού λέλεκται* (*De Confus. Ling.* § 13, i. 412).

lxxxiii. (lxxxiv.) 11 *Μίαν γὰρ ἡμέραν, ὑγιῶς εἶπέ τις προφήτης ἀνήρ, βούλεσθαι βιῶναι μετὰ ἀρετῆς, ἢ μυρία ἔτη ἐν σκιᾷ τοῦ θανάτου* (*Quis rerum div. heres*, § 58, i. 515).

xciii. (xciv.) 9 *Μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ θεσπέσιος ἀνήρ, ἐν ὕμνοις λέγων ὧδε· Ὁ φυτεύων οὖς οὐκ ἀκούει; Ὁ πλάσσων ὀφθαλμούς, οὐκ ἐπιβλέψει;* (*De Plantat. Noe*, § 7, i. 334).

---

lxxiv. 9. *κεράσματος* (*Quod deus immutab.* § 17). Two Philo MSS., *Med.* and *Coll. Nov.*, have *κεκερασμένος*, 'videturque notanter sic scripsisse Philo' (Mangey).

lxxxiii. 11. LXX. *ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.*

Philo's *ἢ μυρία ἔτη ἐν σκιᾷ τοῦ θανάτου* suggest that the clause in the Hebrew had בצלמות after מאלף (so Siegfried). But *ἐν σκιᾷ τοῦ θανάτου* may be only a paraphrase of the second clause in the LXX. *ἐξελεξάμην παραπίπτεσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ, μᾶλλον ἢ οἰκεῖν ἐπὶ σκηνώμασιν ἁμαρτωλῶν.*

Μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ θεσπέσιος ἀνήρ, ἐν ὕμνοις λέγων ὧδε· Ὁ φυτεύων οὖς οὐκ ἀκούει; ὁ πλάσσων ὀφθαλμὸν οὐκ ἐπιβλέπει; (*De Mundo*, § 6, ii. 608).

c. (ci.) 1 Καθάπερ καὶ ὁ ὑμνῳδὸς εἶπέ που· Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι (*Quod deus immutab.* § 16, i. 284).

ci. (cii.) 26 [Non legisti in lege: "Nonne manus mea fundavit terram, et dextera mea ut manufacturam fecit cælum" (*De Jona*, § 44, A. ii. 605).]

cxiii. 25 (cxv. 17) Νεκροὶ δέ, ὡς καὶ ἐν ὕμνοις λέγεται, οὐκ αἰνέσουσι κύριον· ζώντων γὰρ τὸ ἔργον (*De Profug.* § 11, i. 555).

cxx. (cxxi.) 8 Τοῦτ' ἔστιν ὃ καὶ ἐν ἑτέροις αἰνίττεται, φάσκων· Εὐλογίας ἄξιον ἔσεσθαι καὶ εἰσιόντα καὶ ἐξιόντα τὸν τοιοῦτον ἄνδρα (*De Proem. et Poen.* § 19, ii. 426).

---

xciii. 9. φυτεύων...πλάσσων (*De Plantat. Noe*, § 7); LXX. φυτεύσας...πλάσας.

οὖς (*ibid.*); LXX. τὸ οὖς.

οὐκ ἀκούει (*ibid.*); LXX. οὐχὶ ἀκούει. Basil. *De Virgin.* § 27 οὐκ ἀκούσεται (tom. iii. p. 875, ed. Garnier).

ὀφθαλμούς (*De Plantat. Noe*), so LXX. Cod. B; τοὺς ὀφθαλμοὺς Cod. R; ὀφθαλμὸν (*De Mund.*), so LXX. Cod. א^{ca}, τὸν ὀφθαλμὸν Cod. A, *Vat. Rom.*

οὐκ ἐπιβλέψει (*De Plant.*), οὐκ ἐπιβλέπει (*De Mundo*); οὐ κατανοεῖ LXX. Cod. B (οὐχεὶ Cod. א^{ca}, οὐχὶ Codd. AT, *Vat. Rom.*).

c. 1. ἔλεον (*Quod deus immutab.* § 16), so LXX. Codd. א^{ca}T (ἔλαιον A), many cursives (H. and P.), Orig. *Select. in Pss.*, Basil. *Prooem. in Regul.* § 4, tom. i. p. 472; ἔλεος Codd. BR, *Vat. Rom.*

cxiii. 25. LXX. οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, κύριε.

PROVERBS.

iii. 4 Εὖ μοι δοκεῖ καὶ ἐν Παροιμίαις εἰρῆσθαι· Προνοούν-
των καλὰ ἐνώπιον κυρίου καὶ ἀνθρώπων (*De Ebriet.* § 20,
i. 369).
11 Ἔνθεν δ' ἐμοὶ δοκεῖ τις τῶν φοιτητῶν Μωϋσέως
ὄνομα Εἰρηνικός, ὃς πατρίῳ γλώσσῃ Σαλομὼν καλεῖται,
φάναι· Παιδείας θεοῦ, υἱέ, μὴ ὀλιγώρει, καὶ μὴ ἐκλύου
12 ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ κύριος, ἐλέγχει.
Μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται (*De Congr. erud.
grat.* § 31, i. 544).
iv. 3, 4 Διδαχθεὶς γὰρ φυλάσσειν νόμους πατρὸς καὶ μὴ

---

iii. 4. LXX. καὶ προνοοῦ καλὰ κ.τ.λ.

11. LXX. υἱέ, μὴ ὀλιγώρει παιδείας κυρίου, μηδὲ ἐκλύου κ.τ.λ.

Hebr. xii. 5 υἱέ μου...μηδὲ ἐκλύου.

Philo (*De Congr. erud. grat.* § 31) follows the Hebrew order of the words מוסר יהוה בני אל־תמאס, but has θεοῦ for κυρίου.

υἱέ (*ibid.*) = בני. Philo omits the pronoun, which has probably fallen out in the LXX. before μή. Insert μου Clem. Alex. *Paedag.* i. ix. tom. i. p. 145, ed. Potter.

12. ἐλέγχει (*ibid.*), so LXX. Cod. B, *Vat. Rom.*; παιδεύει Codd. ℵA.

Hebr. xii. 6 παιδεύει, and Clem. Rom. c. lvi., Clem. Alex. *loc. cit.*

iv. 4. διδαχθεὶς φυλάσσειν (*De Ebriet.* § 20), referring to οἳ ἔλεγον καὶ ἐδίδασκόν με...φύλασσε ἐντολάς.

ἀθετεῖσθαι θεσμοὺς μητρός, θαῤῥήσεις ἐπισεμνυνόμενος εἰπεῖν· Υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος καὶ ἀγαπώμενος [ἐν] προσώπῳ μητρός (*De Ebriet.* § 20, i. 369).

viii. 22 Εἰσάγεται γοῦν παρά τινι τῶν ἐκ τοῦ θείου χοροῦ ἡ σοφία περὶ αὑτῆς λέγουσα τὸν τρόπον τοῦτον· Ὁ θεὸς ἐκτήσατό με πρωτίστην τῶν ἑαυτοῦ ἔργων, καὶ πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με (*ibid.* § 8, i. 362).

xix. 11 (14) [Quod et in Proverbiis dictum est, quod "Mulier optima a deo coaptatur" (*Quaestt. et Sol. in Genesin, Sermo* iv. § 129, A. ii. 344).]

xxvi. 27 [Dicet enim alicubi et Scriptura manifeste: "Qui fodiet fossam, in eandem cadet" (*Serm. de Samps.* § 44, A. ii. 575).]

καὶ ἐγὼ (*ibid.*); LXX. κἀγώ (ver. 3).

viii. 22. ἐκτήσατο (*ibid.* § 8); LXX. κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέν με ἐν ἀρχῇ (om. ἐν ἀρχῇ, as Philo, Cod. A).

Philo's more accurate rendering, ἐκτήσατο, for קנני, is that of Aquila, Symmachus and Theodotion. Possibly ἔκτισεν resulted from a corrupt ἐκτίσατο.

"Ita MS. *Med.* pro ἐκτίσατο. Eam vero veram esse lectionem constat ex Textu Hebræo loci. Adeoque vertitur ab Aquila ἐκτήσατο, sic etiam scribitur Deut. xxxii. 6" (Mangey).

xix. 11. 'a deo coaptatur' (*Quaestt.*); LXX. Codd. Bℵ παρὰ δὲ θεοῦ (κυρίου Codd. AC, *Vat. Rom.*) ἁρμόζεται γυνὴ ἀνδρί. The LXX. differs from the Hebrew.

ISAIAH.

i. 9 Quare cognatus amicusque Mosis propheta quidam statuit hujusmodi oraculum: "Nisi Dominus omnipotens reliquisset nobis semen, facti fuissemus sicut caeci et steriles" (*Quaestt. et Sol. in Gen., Serm.* ii. § 93, A. ii. 122).

v. 7 *Μαρτυρεῖ δέ μοί τις τῶν πάλαι προφητῶν, ὃς ἐπιθειάσας εἶπεν· Ἀμπελὼν κυρίου παντοκράτορος οἶκος τοῦ Ἰσραήλ* (*De Somn.* ii. § 26, i. 681).

vi. 1 ff. [Ait enim (Isaia): "Vidi Dominum sedentem super sedem excelsam, et domus plena erat gloria et Seraphim stabant circa eum: sex alae unius, et sex alae alterius: duabus (s. duae) velabant vultus, et duabus velabant pedes, et duabus volabant" (*De Deo*, § 6, A. ii. 616).]

xlviii. 22 *Φαύλῳ δὲ οὐδενὶ χαίρειν ἐφεῖται, καθάπερ καὶ ἐν προφητικαῖς ᾄδεται ῥήσεσι· Χαίρειν οὐκ ἔστι τοῖς ἀσεβέσιν, εἶπε θεός* (*De Mutat. Nomin.* § 31, i. 604).

li. 2 Dixit alicubi et propheta: "Respicite in Abraham patrem vestrum, et in Sarram, quae parturivit vos" (*Quaestt. et Sol. in Gen., Sermo* ii. § 26, A. ii. 107).

liv. 1 *Ἡ γὰρ ἔρημος, ᾗ φησὶν ὁ προφήτης, εὔτεκνός τε καὶ πολύπαις, ὅπερ λόγιον καὶ ἐπὶ ψυχῆς ἀλληγορεῖται* (*De Exsecrat.* § 7, ii. 434).

---

v. 7. *ἀμπελὼν* (*De Somn.* ii. § 26); LXX. *Ὁ γὰρ ἀμπελών*. *παντοκράτορος* (*ibid.*); LXX. *Σαβαώθ*.

xlviii. 22. LXX. *οὐκ ἔστι χαίρειν, λέγει Κύριος, τοῖς ἀσεβέσιν*. But Cod. Q has *οὐκ ἔστιν εἰρήνη, εἶπε κ̅ς̅, τοῖς ἀσεβέσιν*.

JEREMIAH.

ii. 13 *Λεκτέον δὲ ἤδη καὶ περὶ τῆς ἀνωτάτω καὶ ἀρίστης πηγῆς, ἣν ὁ πατὴρ τῶν ὅλων διὰ προφητικῶν ἐθέσπισε στομάτων.* Εἶπε *γάρ που·* Ἐ*μὲ ἐγκατέλιπον πηγὴν ζωῆς, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται συσχεῖν ὕδωρ* (*De Profug.* § 36, i. 575).

iii. 4 Καὶ *γὰρ ἐγὼ παρὰ* Μ*ωσεῖ τῷ θεοφιλεῖ μυηθεὶς τὰ μεγάλα μυστήρια, ὅμως αὖθις* Ἱ*ερεμίαν τὸν προφήτην ἰδών, καὶ γνοὺς ὅτι οὐ μόνον μύστης ἐστίν, ἀλλὰ καὶ ἱεροφάντης ἱκανός, οὐκ ὤκνησα φοιτῆσαι πρὸς αὐτόν.* Ὁ *δέ, ἅτε τὰ πολλὰ ἐνθουσιῶν, χρησμόν τινα ἐξεῖπε ἐκ προσώπου τοῦ θεοῦ λέγοντα πρὸς τὴν εἰρηνικωτάτην ἀρετὴν ταῦτα·* Ο*ὐχ ὡς οἶκόν με ἐκάλεσας, καὶ πατέρα, καὶ ἄνδρα τῆς παρθενίας σου;* (*De Cherub.* § 14, i. 148).

---

ii. 13. *ἐγκατέλιπον* (*De Profug.* § 36); so LXX. Codd. BQ[a], *Vat. Rom.*; *ἐγκατέλειπον* Codd. AQ*.

ζωῆς (*ibid.* § 36); so LXX. Codd. Bℵ*, *Vat. Rom.*; *ζῶντος* Codd. ℵ[ca]AQ.

συσχεῖν ὕδωρ (*ibid.*); LXX. *ὕδωρ συνέχειν.*

iii. 4. *ἄνδρα* (*De Cherub.* § 14); LXX. *ἀρχηγόν.*

Philo lays stress on the reading *ἄνδρα*; cf. *De Cherub.* § 15 Διόπερ *ὁ χρησμὸς πεφύλακται θεὸν ἄνδρα εἰπών, οὐ παρθένου—τρεπτὴ*

XV. 10 *Ἔπειτα δὲ καὶ τοῦ προφητικοῦ θιασώτης χοροῦ, ὃς καταπνευσθεὶς ἐνθουσιῶν ἀνεφθέγξατο· Ὦ μῆτερ, ἡλίκον με ἔτεκες ἄνθρωπον μάχης καὶ ἄνθρωπον ἀηδίας πάσης τῆς γῆς! Οὐκ ὠφέλησα, οὐδὲ ὠφέλησάν με, οὐδὲ ἡ ἰσχύς μου ἐξέλιπεν ἀπὸ καταρῶν αὐτῶν* (*De Confus. Ling.* § 12, i. 411).

γὰρ ἥδε καὶ θνητὴ—ἀλλὰ παρθενίας. Possibly *ἄνδρα* was an early rendering, for which *ἀρχηγόν* came to be preferred. In this passage Philo wholly ignores the Hebrew, which is hardly recognizable in the LXX. הלא מעתה קראתי לי אבי אלוף נערי אתה.

παρθενίας (*ibid.*), so LXX. Codd. Bא, *Vat. Rom.*; *παρθενείας* Codd. AQ.

XV. 10. *ἄνθρωπον μάχης καὶ ἀηδίας* (*De Confus. Ling.* § 12), Hebr. איש ריב ואיש מדון.

οὐκ (*De Confus. Ling.* § 12); so LXX. Cod. Q; *οὔτε* Codd. BאA.

ὠφέλησαν (*ibid.*), plur., so Hebr. ולא נשו־בי.

LXX. Cod. B, *Vat. Rom.* *οἴμοι ἐγώ, μῆτερ, ὡς τινά με ἔτεκες; ἄνδρα δικαζόμενον καὶ διακρινόμενον ἐν* (om. *Vat. Rom.*) *πάσῃ τῇ γῇ· οὔτε ὠφέλησα, οὔτε ὠφέλησέν με οὐδείς· ἡ ἰσχύς μου ἐξέλιπεν ἐν τοῖς καταρωμένοις με.*

οὐδὲ (*ibid.*); so LXX. Codd. אQ; *οὔτε* Cod. B.

Cf. Origen. *in Jerem.*, *Hom.* xi. 3, § 3, *Διισσὴ γάρ ἐστιν ἡ γραφή. Ἐν μὲν γὰρ τοῖς πλείστοις ἀντιγράφοις· "οὐκ ὠφέλησα, οὐδὲ ὠφέλησέ με οὐδείς." Ἐν δὲ τοῖς ἀκριβεστάτοις καὶ συμφωνοῦσι τοῖς ἑβραϊκοῖς· "οὐκ ὠφείλησα, οὐδὲ ὠφείλησέ με οὐδείς."*

HOSEA.

xiv. 9 Τούτῳ καὶ παρά τινι τῶν προφητῶν χρησθὲν συνᾴδει
10 τόδε· Ἐξ ἐμοῦ ὁ καρπός σου εὕρηται. Τίς σοφὸς καὶ
συνήσει ταῦτα; συνετὸς καὶ γνώσεται αὐτά; (*De Plantat. Noe*, § 33, i. 350).

Στόματι δ' οἶδά ποτε προφητικῷ θεσπισθέντα διάπυρον τοιόνδε χρησμόν· Ἐξ ἐμοῦ ὁ καρπός σου εὕρηται. Τίς σοφός, καὶ συνήσει ταῦτα; συνετός, καὶ γνώσεται αὐτά; (*De Mutat. Nomin.* § 24, i. 599).

---

xiv. 10. συνετός, as the Hebr., so Philo twice: LXX. pr. ἤ. γνώσεται, so Philo twice, and LXX. Cod. Q[a]; ἐπιγνώσεται Codd. BA, *Vat. Rom.* But γνώσεται is found in numerous cursives (H. and P.) and Clem. Alex. *Strom.* vi. 15, t. ii. p. 798 (ed. Potter).

JONAH.

i. 8 [Itaque naucleri sicut judices, "Unde es, aiunt, et ex quo populo, et quid operaris"? (*Append. in De Jona*, A. ii. 612).]

11 [Sicut ait Scriptura: "Quid faciemus tibi, et cessabit mare a nobis"? (*De Jona*, § 12, A. ii. 585).]

[Quid faciamus tecum (*ibid. Append.* A. ii. 612).]

12 [Tollite me et mittite (in mare) (*ibid.*).]

iii. 4 [Adhuc tres dies, et Ninive subvertetur (*De Jona*, § 48, A. ii. 607).]

---

i. 8. LXX. Ἀπάγγειλον ἡμῖν τίς σου ἡ ἐργασία ἐστίν, καὶ πόθεν ἔρχῃ, καὶ ἐκ ποίας χώρας, καὶ ἐκ ποίου λαοῦ εἶ σύ;

11. 'Quid faciemus tibi' (*De Jona*, § 12), 'quid faciamus tecum' (*ibid.*); LXX. Codd. BQ, *Vat. Rom.* τί σοι ποιήσομεν; τί σοι ποιήσωμεν Codd. ℵA.

ZECHARIAH.

vi. 12 Ἤκουσα μέντοι καὶ τῶν Μωϋσέως ἑταίρων τινὸς ἀποφθεγξαμένου τοιόνδε λόγον· Ἰδοὺ ἄνθρωπος ᾧ ὄνομα ἀνατολή (*De Confus. Ling.* § 15, i. 414).

---

vi. 12. ἄνθρωπος (*De Confus. Ling.* § 15); LXX. Ἰδοὺ ἀνήρ, Ἀνατολὴ ὄνομα αὐτῷ.

APPENDIX.

Philo and the Apocrypha.

(See Hornemann's *Observatt.* &c. pp. 29—32.)

The following is the list of those passages in which some resemblance—in thought or language—has been traced between the books of the Apocrypha and the writings of Philo. But there is no appearance, in any one of them, of definite quotation. In the references to Philo I add the word upon which Mangey is annotating when he gives the reference to the Apocrypha.

Wisdom	Philo
iii. 16	*De Confus. Ling.* § 27, i. 426 (ἐκκλησίας).
vii. 1	*De Nobilitate* § 3, ii. 439 (γηγενοῦς).
vii. 2	*De Vita Mosis* iii. § 5, ii. 148 (ζωογονικωτάτην).
vii. 26	*De Confus. Ling.* § 28, i. 427 (καὶ ὁ κατ' εἰκόνα ἄνθρωπος).
vii. 37	*De Vita Mosis* i. § 27, ii. 105 (φίλος).
viii. 19	*De Confus. Ling.* § 17, i. 416 (ἐπανέρχονται).
viii. 19, 20	*Leg. Allegor.* i. § 12, i. 49 (εἰσκρινόμενον).
ix. 8	*Quis rerum div. heres* § 23, i. 488 (μίμημα).
ix. 15	*De Proemiis et Poenis* § 20, ii. 427 (συμφυεστάτη).
x. 7	*De Abrahamo* § 27, ii. 21 (καίεται).

Wisdom	Philo
x. 17	*De Vita Mosis* i. § 25, ii. 103 (μισθόν).
xi. 4	*De Vita Mosis* i. § 38, ii. 114 (ἄκος δίψους).
xi. 18	*De Vita Mosis* i. § 19, ii. 97 (ζώοις).
xii. 8	*De Proemiis et Poenis* § 16, ii. 423 (σφηκῶν).
xvi. 5	*De Agricult.* § 22, i. 315 (ὄφιν).
xvi. 18, xix. 19	*De Vita Mosis* i. 20, ii. 99 (μαχομένης οὐσίας).

Ecclesiasticus

xxiii. 9	*Legatio ad Caium* § 44, ii. 597 (ἀκατονόμαστον).
xxviii. 1	*Lib. in Flaccum* § 14, ii. 534 (τῶν ἱερῶν νόμων).
xxx. 15	*De Abrahamo* § 38, ii. 32 (τρίτην).
xxxi. 21–23	*Quod det. pot. insid.* § 7, i. 195 (ἑκατόμβας ἀνάγει).
xxxvii. 25	*De Monarchia* ii. § 3, ii. 224 (συνδιαιωνίζουσαι).
xlii. 15	*De Vita Mosis* i. § 51, ii. 125 (ὁ λόγος ἔργον).
xliv. 16	*De Abrahamo* § 3, ii. 4 (ἡ μεταβολή).
xlv. 5	*De Vita Mosis* i. § 28, ii. 106 (γνόφον).
xlix. 16	*De Nobilitate* § 3, ii. 440 (πατήρ).
li. 10 (14)	*De Agricult.* § 12, i. 308 (υἱόν).

Tobit

ii. 1	*De Josepho* § 34, ii. 70 (καθέζεσθαι).
iv. 10	*De Exsecrationibus* § 6, ii. 433 (σκότος).
xii. 12	*De Gigant.* § 4, i. 264 (πρεσβευτάς).
xii. 12, 15	*De Humanitate* § 3, ii. 387 (ἄγγελοι λειτουργοί).

Judith

xii. 15	*De Josepho* § 34, ii. 70 (καθέζεσθαι).

1 Maccabees

iii. 56	*De Fortitudine* § 5, ii. 380 (οἰκίαν).
iv. 50	*De Vita Mosis* iii. § 5, ii. 148 (καταπέτασμα).
iv. 57	*Legatio ad Caium* § 38, ii. 590 (ἀσπίδας).

1 MACCABEES	PHILO
vi. 49, 53	*De Septenario* § 10, ii. 286 (ἀνάροτον). *De Exsecrationibus* § 7, ii. 434 (χώρας).
vii. 33 (cf. *Baruch* i. 10)	*Legatio ad Caium* § 32, ii. 580 (θυσίας).

2 MACCABEES

iii. 3	*Legatio ad Caium* § 40, ii. 592 (ἰδίων προσόδων).
iv. 42 xiv. 42	*Legatio ad Caium* § 32, ii. 581 (ἐπικατασφάξαντες).
xv. 14 (cf. *Baruch* iii. 4).	*De Exsecrationibus* § 9, ii. 436 (ἱκετείας).

3 MACCABEES

ii. 31	*De Somn.* ii. § 37, i. 691 (ἱερὰ πόλις).

A passage from 1 Esdr. vi. 20, under the reference Philo i. 169, I have not been able to identify.

INDEX TO QUOTATIONS.

The references are made to the volumes and pages of Mangey's edition.
The thick figures indicate the pages of the present work.

De Mundi Opific. i. 5, **1**; 7, **1**, **2**; 8, 9, **2**; 13, 14, 15, 16, **3**; 31, **7**; 32, **8**

Leg. Allegor. i. i. 43, **5**; 44, **5**, **6**; 46, **6**, **226**; 47, **7**; 48, **7**, **8**; 49, **8**; 50, **1**; 51, **9**, **153**; 52, **259**; 53, **9**, **11**, **175**, **216**; 54, **10**; 55, **131**; 56, **11**; 59, **111**, **137**, **231**; 60, **194**; 61, **11**, **12**; 63, **12**, **20**; 64, **12**

Leg. Allegor. ii. i. 66, 67, 68, **13**; 69, **3**; 72, **161**, **267**; 73, **14**, **244**; 74, **14**; 75, **14**, **111**, **212**, **254**, **263**, **281**; 76, **15**, **199**, **212**; 77, **43**, **49**, **96**, **98**, **244**; 78, **231**; 79, **15**; 80, **237**; 81, **83**, **237**, **252**; 82, **117**, **149**; 83, **138**; 85, **15**, **164**, **209**

Leg. Allegor. iii. i. 87, **16**, **97**; 88, **16**, **97**, **142**, **169**, **248**; 89, **76**, **144**, **225**, **253**, **258**, **266**; 90, **116**, **212**; 92, **52**, **119**, **137**, **215**; 93, **74**, **179**; 94, **143**, **272**; 95, **54**, **90**, **93**, **156**; 96, **170**, **199**, **236**; 97, 98, 99, **16**; 100, **17**, **124**, **260**; 101, **124**; 102, **33**, **52**; 103, **50**, **52**, **248**, **267**; 104, **68**; 105, **135**; 106, **3**, **197**; 107, **200**, **201**; 108, **192**, **230**, **279**; 109, **17**, **223**, **272**; 111, **195**; 113, **207**; 114, **210**; 115, **201**, **203**; 116, **111**, **207**, **226**; 117, **268**; 118, **17**, **268**; 119, **9**, **158**; 120, **167**, **168**; 121, **165**, **168**, **232**, **251**; 122, **112**, **132**, **136**; 123, **17**, **111**; 124, **17**, **18**, **170**; 125, **103**, **104**; 126, **18**, **52**, **176**, **243**, **268**; 127, **88**; 128, **231**, **250**; 129, **88**, **146**; 130, **18**, **67**, **72**, **146**, **147**, **175**; 131, **18**, **83**; 132, **55**, **231**, **238**; 134, **127**; 135, **84**, **127**, **142**, **241**; 136, **18**, **179**; 137, **19**

